Ὡσαύτως ὁ Κικέρων (De fato) λέγει· «Athenis tenue cœlum ex quo acutiores etiam putantur Attici». Κατὰ ταῦτα ἡμεῖς λέγομεν, ὅτι τὰ γραμματολογικὰ προϊόντα τῶν λαῶν ὁμοιάζουσι πρὸς τὰ φυσικά. Ὡς οἱ μὲν βόρειοι λαοὶ παράγουσι φυσικὰ προϊόντα μὴ ἔχοντα πολὺ ἄρωμα, τῶν δ' ἄγαν θερμῶν κλιμάτων τὰ προϊόντα ἔχουσι βαρεῖαν καὶ πνιγηρὰν τὴν ὀσμήν, οὕτως οὐχὶ πολὺ διάφορα εἶναι τὰ γράμματα ἐν τῇ φυσικῇ αὐτῶν μορφῇ. Λέγομεν τοῦτο, διότι πολλῶν βορείων λαῶν τὰ γράμματα ἠλλοιώθησαν κατὰ τὸν ἑλληνικὸν τρόπον. Τῆς δ' Ἑλλάδος καὶ τὰ φυσικὰ καὶ τὰ γραμματολογικὰ προϊόντα ἔχουσι τὸ μέσον. Τοῦτο δύναμαι νὰ κυρώσω δι' ἑνὸς παραδείγματος παραβάλλων τὸν Ὅμηρον πρὸς τὸν Νόννον. Ἐκεῖνος, ζήσας ἐν τῇ εὐκράτῳ Ἰωνίᾳ ἐποίησεν ἔπη, ἐν οἷς εἶναι συγκεκραμένον τὸ θερμὸν μετὰ τοῦ ψυχροῦ· θερμαίνεται μὲν ὁ ἀναγνώστης ἐκ τῆς ἀναγνώσεως τῶν μαχῶν τῶν Ἀχαιῶν πρὸς τοὺς Τρῶας, ἀλλὰ διὰ τῶν ἐπεισοδίων, ὡς διὰ ποντιάδων αὐρῶν, δροσίζεται. Τοὐναντίον ὁ Νόννος ζήσας ἐν Πανοπόλει τῆς Αἰγύπτου ἐποίησε τὰ Διονυσιακά, ἐν οἷς ὁ ἀναγνώστης οὔτε δι' ἐπεισοδίων, οὔτε δι' ἠπίων παύσεων δροσίζεται. Ἡ φαντασία τοῦ Αἰγυπτίου ποιητοῦ εἶναι ἀείποτε θερμή, ἡ δὲ θερμότης αὐτοῦ παράγει ἐξημβλωμένους καρπούς. Πρὸς κύρωσιν τοιούτων γραμματολογικῶν φαινομένων δύνανται νὰ γείνωσι καὶ πειράματα. Εἶναι δ' ἄξιον σημειώσεως, ὅτι τοιοῦτόν τι ἐποίησεν ὁ ἀμαθὴς μέν, εὐφυὴς δὲ δήμαρχος τῶν Κροκεῶν τῆς Λακεδαίμονος. Οὗτος ἔλεγέ μοι πρὸ μακροῦ χρόνου, ὅτι εἶχε δύο ἀγρούς, ἐξ ὧν ὁ μὲν ἔκειτο ἐν ἀγρίᾳ φύσει, ὁ δ' ἐν ἡμέρῳ. Ὅτε δ' οὗτος διῃτᾶτο ἐν τῷ πρώτῳ κτήματι, ἐβουλεύετο, ἵνα διαπράττῃ βιαίας καὶ ἀδίκους πράξεις, ὅτε δὲ ἐν τῇ ἡμέρῳ φύσει, ἐσχεδίαζε νὰ ἐκτελῇ εἰρηνικὰ ἔργα. Φοβηθεὶς ὅμως, μὴ αἱ σκέψεις αὗται εἶναι προσωπικαί, ἐκάλεσεν εἰς συμπόσιον πολλοὺς τῶν φίλων ἐν ἑκατέρῳ κτήματι, παρακαλέσας αὐτούς, ἵνα γράψωσι τὰς σκέψεις αὐτῶν καὶ σφραγίσωσι τὸ χειρόγραφον. Εἶτα τῶν χειρογράφων ἀποσφραγισθέντων, ἐδείχθη, ὅτι παρὰ πᾶσιν αἱ αὐταὶ σκέψεις ἐπῆλθον καὶ ὅτι ἡ διαφορὰ ἔκειτο μόνον ἐν ταῖς λέξεσιν.

Δύνανται λοιπὸν νὰ γείνωσι πειράματα καὶ ἐν τοῖς γράμμασι καὶ ὰ προκύψῃ ὠφέλεια, ἂν ποιηταὶ καὶ ἄλλοι συγγραφεῖς θηρεύοντες ὸ κάλλος τοῦ λόγου ἔρχωνται εἰς Ἀθήνας καὶ ἐνταῦθα συγγράφω-

σύνθεσιν καὶ συναγωγὴν τῶν χύδην καὶ εἰκῇ ἐν τῷ πρώτῳ καὶ δευτέρῳ βιβλίῳ αὐτῷ εἰρημενων, ὅνπερ πολλαχοῦ ἀλλαχοῦ καταλαβόντες ἐν ταῖς προτέραις ἡμῶν πραγματείαις δηλῶσαι τοῖς ἐντευξομένοις ἐπειράθημεν.

Ὅσον δ' ἀνεπιτήδειός τε καὶ ἄτεχνος ὁ τῆς ὅλων μερῶν συνθέσεως τρόπος, ἐάν τις πρὸς τὸν ἐν τῇ Πολιτείᾳ ἐξετάσῃ, οἷος ὁ ἐν ἀρχῇ τοῦ δευτέρου βιβλίου, ἔνθα τῷ περὶ ὠφελείας ἢ βλάβης τῆς δικαιοσύνης λόγῳ ὁ περὶ τῆς δικαιοσύνης αὐτῆς ὡς ἀγαθοῦ συνάπτεται, ἄνευ τῶν ἀπ' αὐτῆς τοῖς ἀνθρώποις γιγνομένων καὶ ἀποβαινόντων, ζημίας τε καὶ κέρδους. Ταῦτα δ' ἐκεῖ διαπεραίνεται οὐκ ἀτέχνως, ὥσπερ ἐνταῦθα, αὐτοῦ εἰσηγουμένου τοῦ Σωκράτους, ἀλλὰ χαριέστατα Γλαύκωνος προσαναγκάζοντος.

Ὡς δ' ἀηδής τε καὶ ἄχαρις εἶναι δοκεῖ ἡ ἐνθάδε εἰς ἄλλα τοῦ λόγου μετάβασις παρὰ τὴν ἐν ἀρχῇ τοῦ πέμπτου βιβλίου τῆς Πολιτείας κρινομένη, τὴν ἀπὸ τοῦ περὶ ἀγαθῆς πόλεως καὶ πολιτείας λόγου εἰς τὸν περὶ γυναικῶν τε καὶ παίδων κοινωνίας, ἐν ᾗ Ἀδείμαντος μετὰ Πολεμάρχου οἷον ἀπορραθυμοῦντα Σωκράτη καὶ ὅλον εἶδος λόγου ἐκκλέπτειν βουλόμενον ἐπιχειρῆσαι αὐτῷ ἐπαναγκάζουσιν.

682 E.

(ΑΘ. -- ἥκει γὰρ (ὁ λόγος) ἐπὶ τὴν εἰς Λακεδαίμονα κατοίκισιν αὐτήν, ἣν ὑμεῖς ὀρθῶς ἔφατε κατῳκίσθαι καὶ Κρήτην ὡς ἀδελφοῖς νόμοις.

Ἥ τε διάνοια τοῦ λόγου καὶ τῆς συντάξεως τὸ σκολιὸν ἀποβάλλειν κελεύουσι τὴν ῥῆσιν καὶ Κρήτην ὡς ἀδελφοῖς νόμοις. Ὁ γὰρ δὴ λόγος εἰς τὴν Λακεδαίμονος μόνον οἴκισιν ἥκει περὶ τῆς Ἡρακλειδῶν καθόδου ὤν, ὅπερ μάλιστ' ἐναργῶς ἄν τις ἴδοι, ἐὰν τά τε αὐτόθι που νῦν δὲ τετάρτη τις ἡμῖν αὕτη πόλις σὺν τοῖς ἑξῆς ἀκούσῃ (683 A) καὶ τὸ μικρὸν προϊόντι γενώμεθα ταῖς διανοίαις ἐν τῷ τότε χρόνῳ σὺν τοῖς ἑξῆς (683 C), ἐν οἷς οὐδέν ἐστι περὶ Κρήτης λεγόμενον. Ἔτι δὲ παρέλκει μὲν τὴν σύνταξιν τὸ Κρήτην, βίᾳ δ' ὑπονοητέον μετὰ τὸ ἀδελφοῖς νόμοις τὸ κατῳκισμένην. Οὐδὲν δ' ἧττον σκολιὰ δοκεῖ εἶναι καὶ ἡ κατ' Ἄστον σύνταξις τῶν ὀνομάτων, ᾗ γε δὴ τὸ καὶ Κρήτην ἀπὸ τοῦ ἀδελφοῖς ἂν κρέμαιτο. Ἐκ

ΤΕΚΜΗΡΙΑ ΤΟΥ ΝΟΘΟΥ ΤΩΝ ΠΛΑΤΩΝΟΣ ΝΟΜΩΝ

ΕΚ ΤΟΥ Γ' ΒΙΒΛΙΟΥ

(ΚΑΙ ΕΠΑΝΟΡΘΩΤΙΚΑ ΕΙΣ ΑΥΤΟ)

Περὶ τοῦ τῶν Πλατωνείων Νόμων νόθου τετάρτη ἡμῖν ἥδε ἐστὶ πραγματεία, πρώτης μὲν καὶ δευτέρας περὶ τὸ Α' καὶ Β' οὔσης βιβλίον, σημεῖα καὶ πίστεις τοῦ νόθου ἐξ αὐτῶν πορίζομένοις καὶ συλλέγουσι, τρίτης δὲ πρὸς Ἄππελτόν τε καὶ Ῥιττῆρον τὰς τῶν λόγων ἡμῶν τούτων κρίσεις καὶ ἐλέγχους αὐτῶν βασανιζούσης καὶ ἀντελεγχούσης. Ἐκδέδονται δέ μοι αὗται καὶ εἰσιν, αἱ μὲν τῶν προτέρων τῆς «Ἀθηνᾶς» που τόμων (1), μία δὲ ἐν ἰδίῳ βιβλίῳ (2). Διώξαντες δ' ἐν ἐκείναις τὸν τοῦ λόγου σκοπὸν μάλιστα μὲν τὴν λέξιν σκοπούμενοι καὶ ἐξετάζοντες, ἔπειτα δὲ καὶ τὰ λεγόμενα, εἴτ' οὖν Πλατώνεια εἴτε ἀλλότρια τυγχάνει ὄντα, ἐν τῇ νῦν τῇδε ζητήσει ὁ λόγος ἡμῖν ἔσται περί τε αὐτῶν τούτων, ὡς ἐν τῷ Γ' ἔχει βιβλίῳ, καὶ ἔτι περὶ τῆς ῥητορικῆς τῆς λέξεως ἰδέας μόρια ὅλα λόγου πρὸς ἄλλα ὁμολογουμένως Πλατωνείων διαλόγων παραβάλλουσι καὶ τὴν διαφορὰν ἐπιδεικνῦσι, ἐξ ἧς ἄν τις μάλιστα πιστεύσειεν ἕτερον εἶναι τὸν τοὺς Νόμους συγγράψαντα καὶ ἐν ἑτέροις χρόνοις αὐτοὺς συντεθεικέναι.

Καὶ ταῦτα μὲν προὔργου ἡμῖν ἐν τῇ νῦν ἐγένετο διατριβῇ. Πάρεργον δ' ἐποιησάμεθα σπουδήν τινα θεραπείας καὶ ἐπανορθώσεις χωρίων τοῦ βιβλίου τούτου νοσεῖν τὴν γραφὴν ἢ διεφθάρθαι δοκούντων. Τὸν δὲ περὶ τούτων λόγον τοῦ διακρίνεσθαι χάριν ἀπὸ τοῦ κυρίου τοῦ περὶ τὸ νόθον παρενθέσεσιν ἐγγράψαι ἡμῖν ἔδοξεν. Λέγεται δὲ περὶ τούτων ἑκατέρων ἐφεξῆς ὧδε.

676 B.

ΑΘ. Τό δέ γε (τὸ τοῦ χρόνου πλῆθος) ἀφ' οὗ πόλεις εἰσὶν ὡς ἄπλετόν τι καὶ ἀμήχανον ἂν εἴη; ΚΛ. Πάνυ μὲν οὖν τοῦτό γε.

(1) 8. σ. 177 κἑ. 11, σ. 136 κἑ.
(2) Ἡ περὶ τὸ Β' βιβλίον παρὰ Περρῇ, 1897.

Ἄπλετον μὲν ἐλέχθη κατὰ τὸ Οὐατικάνειον ἀπόγραφον, κατὰ δὲ τἆλλα ἄπειρον, ἑρμήνευμα ὡς εἰκὸς ὂν τοῦ ἀήθους ἀπλέτου. Ἐλέχθη δ' ἄπλετον ἀντὶ τοῦ ἄπειρον οὐ μόνον ἐνταῦθα ἀλλὰ καὶ ὀλίγα μετὰ ταῦτα διελθόντι (683 A) ἐν χρόνου τινὸς μήκεσιν **ἀπλέτοις.** Ταῦτα δ' ἀναγνόντι μοι εὐθὺς ὑπόνοι' ἐγένετο οὐκ ἂν Πλατώνειον τὸ ὄνομα εἶναι. Καὶ δὴ ζητοῦντί μοι καὶ μετιόντι οὐκ ἀλλοῖα τῆς δόξης ηὕρηται ταύτης. Ποιητικὸν γὰρ μάλιστα δοκεῖ εἶναι καὶ Ἡροδότειον τὸ ἄπλετος καὶ τοῦ ἀπ' Ἀριστοτέλους ἔπειτα λόγου. Εἴρηται μὲν γὰρ Ἐμπεδοκλεῖ (Κλημ. Στρ. 748, 27) περὶ αἰθέρος ὕψους καὶ Πινδάρῳ περὶ δόξης (Ἰσθ. 3, 29) καὶ Σοφοκλεῖ βάρος ἄπλετον εἰπόντι (Τραχ. 982) καὶ πλειστάκις περὶ πολλῶν καὶ παντοίων Ἡροδότῳ καὶ Ἀριστοτέλει οὐχ ἅπαξ· πολλοὶ δὲ τῶν ὑστέρων κατὰ μίμησιν ἔγραψαν. Τὸ δ' εἰπεῖν που Ξενοφῶντα ἄπλετον χιόνα (Ἀν. 4, 4, 11) οὐδὲν ἐναντίον πρὸς ὃ φαμέν ἐστι· μιμητὸς γὰρ δὴ οὗτος πολλαχῇ Ἡροδότου τυγχάνει ὤν, οὐ πάνυ τι τὴν λέξιν καθαρεύων. Σοφιστὴς δ', ὁ Πλάτωνος διάλογος ἀλλότριος εἶναί μοι δοκεῖ καὶ τῶν μετ' Ἀλέξανδρον γραφέντων ἐξ ὧν ἐν τῇ δευτέρᾳ μου ζητήσει που εἶπον (σ. 109), καὶ οὐκ ἂν ἄρα λογισαίμην Πλατώνειον τὴν ἐν αὐτῷ που πλοκὴν ὀνομάτων ἄπλετος μάχη τις (246 C), ἀλλὰ τῶν μετ' Ἀλέξανδρον Πλατωνικῶν τινος, καθάπερ καὶ τὰς προκειμένας τὰς τῶν Νόμων.

677 D.

ΑΘ. Ἆρ' ἴστ', ὦ Κλεινία, τὸν φίλον ὅτι παρέλιπες, τὸν ἀτεχνῶς χθὲς γενόμενον;

ΚΛ. Μῶν φράζεις Ἐπιμενίδην;

Οὐδένα δήπου τῶν περὶ τὸν Ἕλληνα λόγον σπουδαζόντων ἀνδρῶν τὸ φράζειν λανθάνει ὅτι ἴσα τῷ δεικνύναι τὸ πρῶτον δυνάμενον εἰς τὸ λόγῳ σημαίνειν τὰ ἐν νῷ ἀφανῆ κατέστη, καὶ ταύτῃ τῶν ἄλλων περὶ τὸ λέγειν ῥημάτων διαφέρει τε καὶ διακρίνεται. Ἐν δὲ τῇ ῥήσει ταύτῃ, τῇ Μῶν Ἐπιμενίδην φράζεις οὐδὲν ἀλλ' ἢ τὸ λέγεις Πλάτων ἂν εἴποι, μυριόλεκτον τοιοῦτον παρ' αὐτῷ εὑρισκόμενον καὶ ἐν τῷ ἄλλῳ Ἀττικῶν λόγῳ συνηθέστατον, ὡς πάντες ἴσασιν, ὄν,

καὶ οὐδὲν δεῖ μαρτυρίων εἰς δήλων τε καὶ ὁμολογουμένων δεῖξιν. Τὸ δὲ φράζειν τοῦτο, intelligere ὑπὸ Ἄστου ὀρθῶς ἡρμηνευμένον, ὁμοίως ὁ τῶν Νόμων συγγραφεὺς καὶ ἀλλαχοῦ αὐτῶν ἁλίσκεται εἰπών, ἔν τε τῷ ἕκτῳ βιβλίῳ (776 D) «ὃ δὴ παριὼν τῷ λόγῳ ἔτυχον εἰπών, καί σύ με εἰκότως τί ποτε φράζοιμι ἠρώτησας τόδε ἐστὶν» καὶ τοῦ δεκάτου που (895 E) «ΑΘ. Τούτῳ δὴ (τῷ δίχα διαιρουμένῳ) τῷ κατ' ἀριθμὸν ὄνομα μὲν ἄρτιον, λόγος δὲ ἀριθμὸς διαιρούμενος [εἰς] ἴσα δύο μέρη. ΚΛ. Ναί. ΑΘ. Τὸ τοιοῦτον φράζω. Μῶν οὖν οὐ ταὐτὸν ἑκατέρως προσαγορεύομεν --;». Ὅτι δὲ καὶ τῶν ἄλλων διαλόγων ἐν τῷ Πολιτικῷ μόνον τοιοῦτον ἐγράφη τὸ φράζειν, οἷον «ΞΕ. ἀκήκοας γάρ που καὶ ἀπομνημονεύεις ὅ φασι γενέσθαι τότε. ΝΕ. ΣΩ. Τὸ περὶ τῆς χρυσῆς ἀρνὸς ἴσως σημεῖον φράζεις (268 E)», τοῦτο οὐδὲν τὴν περὶ τῆς χρείας τοῦ φράζειν γνώμην ἡμῶν ταράττει οὐδὲ τὸ παράπαν κινεῖ, οὐκ ἀλόγως τὸν Πολιτικὸν σὺν τῷ Σοφιστῇ τῶν ἀμφισβητουμένων εἶναι διαλόγων ἡγουμένων, καθ' ἅπερ ἐν τῇ δευτέρᾳ περὶ ταῦτα πραγματείᾳ που (σ. 109) διεξήλθομεν. Ἐκ πολλῶν δὲ ἄλλων ἄλλοτ' ἀλλαχοῦ ἡμῖν εἰρημένων καὶ ἐκ τούτων ὁμοίως μὲν ἐν ταῖς τρισὶ τούτοις ἐχόντων διαλόγοις, διαφόρως δὲ ἢ ἐν ταῖς ὁμολογουμένοις Πλατωνείοις λόγοις οὐκ ἂν ἀπεικότως τῶν μετ' Ἀλέξανδρον Πλατωνικῶν ἔργ' αὐτοὺς τιθοίμεθα.

677 C.

ΚΛ. Μῶν φράζεις Ἐπιμενίδην;

ΑΘ. Ναὶ τοῦτον. Πολὺ γὰρ ὑπερεπήδησε τῷ μηχανήματι τοὺς ξύμπαντας.

Τὸ ὑπερπηδᾶν δῆλον ὅτι ἀντὶ τοῦ ὑπερβάλλεσθαι ἐνταῦθα ἐλέχθη, ποιητικωτέραν μὲν ἔχον τὴν μεταφοράν, οὐδενὶ δ' οὐδαμοῦ τοιοῦτον εἰρημένον, ἀλλ' ἢ τῷ θαυμαστῷ τούτῳ ἀνδρὶ τῷ περὶ τοὺς Νόμους πραγματευσαμένῳ, εὖ πως πρὸς τοιαῦτα πεφυκότι τολμήματά τε καὶ νεανιεύματα, οἷς οὐκ ἂν δήπου Πλάτων οὐδὲ νεώτερος ὢν ἂν ἐνεχείρησεν, μή τι γε δὴ γέρων, ἡλίκος ὢν τοὺς Νόμους λέγεται συγγράψαι. Πλάτων γοῦν πυκνὰ ἀντὶ τούτου εὑρίσκεται εἰπὼν ὑπερβάλλεσθαι ἢ ὑπερέχειν ἢ καὶ διαφέρειν. Δυσαρίθμητα δὲ τυγ-

χάνει ὄντα ἅ γε δὴ αὐτοῦ ἐν τοῖς δύο μόνον πρώτοις βιβλίοις εὑρόντες τοιαῦτα κατηγγείλαμεν.

667 E.

(ΑΘ. Οὐκοῦν οὕτω δὴ λέγωμεν ἔχειν τότε, ὅτ' ἐγένετο ἡ φθορά, τὰ περὶ τοὺς ἀνθρώπους πράγματα, μυρίαν μέν τινα φοβερὰν ἐρημίαν, γῆς δ' ἀφθόνου πλῆθος πάμπολυ, ζῴων δὲ τῶν ἄλλων ἐρρόντων βουκόλι' ἄττα καὶ εἴ τί που αἰγῶν περιλειφθὲν ἐτύγχανε γένος, σπάνια καὶ ταῦτα νέμουσιν εἶναι ζῆν τότε κατ' ἀρχάς.

Ἀντὶ τοῦ λέγωμεν τῶν χειρογράφων τοῦ σὺν τῷ ὦ μεγάλῳ, Σάνζος λέγομεν σὺν τῷ ὄ μικρῷ γράφει, ἐν παραγραφῇ ἑνὸς μόνου εὑρὼν ἀπογράφου, ἀνοικείου δὴ ὄντος τοῦ λέγωμεν τὴν διάνοιαν τῷ λόγῳ. Ἡμεῖς δὲ ἐμμένοντες τῇ παραδόσει, οἰκεῖον αὐτὸ τῷ λόγῳ ποιεῖν δοκοῦμεν, ἐρωτηματικὸν αὐτὸν μεταβάλλοντες καὶ μόνον σημεῖον ἐρωτήσεως ἐν τῇ τελευτῇ τοῦ λόγου τιθέντες «-- τότε κατ' ἀρχάς;» Δηλοῦσι δὲ σαφῶς καὶ οἱ μετὰ ταῦτα τοῦ Ἀθηναίου λόγοι μέχρι τοῦ προελήλυθε πάντα (678 B) πάντες ἐρωτήσεις ὄντες).

678 C.

Ἐκ γὰρ τῶν ὑψηλῶν είς τὰ πεδία καταβαίνειν οἶμαι πᾶσι φόβος ἔναυλος ἐγεγόνει.

Περὶ τῶν ἀπὸ κατακλυσμοῦ περισωθέντων ὁ λόγος, ὅτι ἄρτι γεγενημένου ἔναυλος αὐτοῖς ἦν ἔτι ὁ φόβος αὐτοῦ. Τὸ δ' ὄνομα ἔναυλος περὶ φωνῆς καὶ λόγου καὶ ἤχου λεγόμενον, μόνον ἐν τοῖς Νόμοις εἰς ἄλλα αἰσθητά, οἷον φόβον, μετενηνεγμένον εὑρίσκεται, σημαῖνον τὸ εὖ μνημονευόμενον ἅτε ἄρτι γεγενημένον, καὶ ἔτι παρ' ὑστέροις, Δίωνί τε τῷ Κασσίῳ καὶ Διονυσίῳ τῷ Ἁλικαρνασεῖ καὶ εἴ τισιν ἑτέροις. Δύναμιν δ' ἔναυλον Ἀριστοτέλης που εἶπε (προβλ. 21, 13) καὶ μνήμην Ἑρμογένης ὁ τεχνικὸς καὶ ἔναυλον ἦν ἔτι ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (191), πάντες κατ' Ἀλέξανδρον ἢ μετ' Ἀλέξανδρον γράψαντες, εἰς ὃ χρόνου ἡμεῖς τὸν συγγραφέα τῶν Νόμων μετατίθεμεν. Κυρίως δὲ λεγόμενον Πλάτωνος ἐν Μενεξένῳ που εἴρηται τοὔνομα (285 B), εἰ μὴ

ἀλλότριος ὁ διάλογος τυγχάνει ὤν, καὶ παρ' ἄλλοις οὐκ ὀλίγοις τῶν δοκίμων παλαιῶν μετιὼν ἂν εὕροις εἰρημένον.

678 C.

ΑΘ. Ἆρ' οὐχ ἄσμενοι μὲν ἑαυτοὺς ἑώρων δι' ὀλιγότητα, τὰ πορεῖα δέ, ὥστ' ἐπ' ἀλλήλους πορεύεσθαι, κατὰ γῆν ἢ κατὰ θάλατταν σὺν ταῖς τέχναις ὡς ἔπος εἰπεῖν πάντα σχεδὸν ἀπολώλει; ξυμμίσγειν οὖν ἀλλήλοις οὐκ ἦν οἶμαι σφόδρα δυνατόν.

Καὶ ἐνταῦθ' ἐπέσχομεν τὸ ὄνομ' ἀναγνόντες πορεῖον, ἄηθες τῷ Ἕλληνι λόγῳ ἡμῖν εἶναι δόξαν. Ἴσα γάρ τοι τῷ ὀχήματι δυνάμενον ἔγραψε μὲν ὁ τοὺς Νόμους συνθεὶς καὶ ὁ τὸν Τίμαιον (44 E) συγγράψας, κατὰ πάντα λόγον Πλατωνικός τις ὢν Πυθαγορίζων (Β. Ζήτησ. σ. 109). Τῶν δ' ἄλλων δοκίμων οὐδεὶς οὐδαμοῦ ἡμῖν γε ηὕρηται εἰπών. Τῶν δ' ὑστέρων παρὰ Πολυβίῳ τε καὶ Διοδώρῳ καὶ Ἀριστείδῃ ζητῶν ἂν περιτύχοις καὶ παρ' ἄλλοις ἴσως κατὰ μίμησιν γράψασι. Κατὰ δ' οὖν ταῦτα ἀπὸ τῶν Ἀλεξάνδρου ἢ μετὰ τοῦτον χρόνων τοὔνομα ἔοικε φανῆναι.

(Τὸ δ' αὐτόθι που λεχθὲν σχεδὸν τὸ πάντα ὁριζόμενον, κατὰ ταὐτὰ δὲ καὶ ὡσαύτως ἔχον καθ' ἅπερ καὶ τὸ ὁμοίως πρὸς τὸ πάντα λεγόμενον ὡς ἔπος εἰπεῖν, καὶ οὕτω διαφανῶς αὐτῷ ταυτολογοῦν, σχόλιον ἀναμφισβήτητον παρενεγράφη, καὶ κατὰ πάντα λόγον ἀποβλητέον εἶναι δοκεῖ).

Τὸ δὲ ξυμμίσγειν τινὶ τὸ κοινωνεῖν ἢ ἐπιμειγνύναι βουλόμενον λέγειν, σπανιώτερον μὲν ὂν ἐν τῷ δοκίμῳ εὑρίσκεται λόγῳ, μνείας δ' οὐκ ἀνάξιον εἶναι δοκεῖ ὅτι μόνον ἐν Νόμοις καὶ ἐν ἀμφισβητουμένοις ἄλλοις τοῦ Πλάτωνος λόγοις ὡς γ' ἔμ' εἰδέναι ἔτυχε λεχθέν, ἔν τε τῷ Πολιτικῷ (258 A) καὶ ἐν τῷ Μενεξένῳ (249 E) πολλὴν τὴν ὑπόνοιαν ποιοῦν μὴ οὐ Πλατωνεία ἡ χρῆσίς ἐστιν αὕτη, ἄλλως τε καὶ τοῦ ὀνόματος ξυμμείξεως ἀντὶ τῆς κοινωνίας μόνον τῷ θαυμαστῷ ἡμῖν τούτῳ συγγραφεῖ εἰρημένου (217 α) καὶ ὕστερον Πλουτάρχῳ πολλάκις.

678 D.

(ΑΘ. Σίδηρος γὰρ καὶ χαλκὸς καὶ πάντα τὰ μεταλλεῖα συγκεχυμένα (τῷ κατακλυσμῷ) ἠφάνιστο.

Τὸ μεταλλεῖα δηλοῦν σαφῶς τὰ ἐκ τῶν μετάλλων λαμβανόμενα, ἀλλ' οὐ τὰ μέταλλα αὐτά, ὅπερ Σταλλβαῦμος βούλεται, μετάλλεια ὀρθότερον τονούμενον ἂν λέγοιτο. Οὐ γὰρ δὴ παρὰ τὸ μεταλλεύειν παρῆκται ὥστε τὸ ἐν ᾧ τις μεταλλεύει σημαίνειν, ἀλλὰ τὰ τῶν μετάλλων ἢ τὰ ἐκ τούτων ἐναργῶς λέγον ἐκ τοῦ μέταλλα δήπου τὴν γένεσιν ἂν ἔχοι).

Ἴδιον δὲ φαίνεται ὂν τοὔνομα τοῦ συγγραφέως τούτου, οὐδενὸς ἄλλου ὡς ἐμὲ γνῶναι εἰπόντος. Καὶ ὁ μεταλλεὺς δ' ὁμοίως ἔχει (678 D) καὶ τῶν ὑστέρων τισὶν εἰρημένος (Διοδ. 20, 94) καὶ ἔτι καὶ ἡ μεταλλεία (761 C, 842 Δ) καὶ ἐν τῷ Κριτίᾳ που γεγραμμένη (114 E), Πλατωνικοῦ τινος ὥς γ' ἐμὲ κρῖναι ὄντι διαλόγῳ, ἀλλ' οὐ Πλάτωνος (Β' Ζήτησ. 109) καὶ Δημητρίῳ τῷ Φαληρεῖ κατ' Ἀθήναιον (6, 233 E) καὶ Διοδώρῳ πολλάκις.

678 E.

ΑΘ. Καὶ τοίνυν στάσις ἅμα καὶ πόλεμος ἀπολώλει κατὰ τόν τότε χρόνον πολλαχῇ.

Καὶ τὸ μάλιστ' εὐαισθήτως ἔχειν πρὸς τὸ ἐν τῷ λόγῳ ἀηδὲς καὶ ἄχαρι πάντες ἂν κατὰ Πλάτωνος εἴποιεν οἱ καὶ σμικρὰ αὐτοῦ γευσάμενοι φιλόλογοι ἄνδρες. Πῶς οὖν οὐκ ἂν μεγάλ' ἀδικοίη ὁ Πλάτωνα βιαζόμενος ἰδιώσασθαι λόγον, οὗπερ ἐν βραχεῖ τοσαύτη παλιλλογία τοῦ τότε οὖσα ἐλέγχεται, ὥστε μυρίαν ἀπειροκαλίαν τοῦ γράψαντος μηνύειν; Ἐλέχθη γὰρ ἐφεξῆς ἐν τῷ **τότε** χρόνῳ (677 C) καὶ εὐθὺς ἐχομένως ἔρρειν ταῦτα ἐν τῷ **τότε** χρόνῳ φήσομεν; καὶ ὀλίγῳ ὕστερον (Δ) διελάνθανεν ἄρα τοὺς **τότε** καὶ ἔτι οὕτω δὴ λέγομεν ἔχειν **τότε**; (E) καὶ αὐτόθι σπάνια νέμουσιν εἶναι ζῆν **τότε** καὶ τοὺς **τότε** ἀπείρους ὄντας (678 B) καὶ ἠφανισμένοι ἂν εἶεν ἐν τῷ **τότε** (E) καί, ὅθενπερ ὡρμήθημεν σκοπούμενοι, πόλεμος ἀπωλώλει κατὰ τὸν **τότε** χρόνον καὶ διέ-

ζων ἐν τῷ **τότε** χρόνῳ (679 A) καὶ ὃ **τότε** ἐν ἐκείνοις παρῆν (B).

679 Δ.

ΑΘ. - - ἦσαν τοιοῦτοι παντάπασιν, οἵους αὐτοὺς ἡμεῖς ἄρτι διεληλύθαμεν.

ΚΛ. Ἐμοὶ γοῦν δὴ καὶ τῷδε οὕτω ταῦτα ξυνδοκεῖ.

Καὶ ἐνταῦθ' ἄν τις θεάσαιτο ὃ δὴ καὶ ἄλλοτ' ἀλλαχοῦ ἠλέγξαμεν σκαιόν τε καὶ ἄτοπον ἐν τῇ τῶν Νόμων διαλεκτικῇ, τὸ τὸν Κλεινίαν αὐτόματον καὶ ἀντὶ Μεγίλλου λέγειν τε καὶ ἀποκρίνεσθαι, ὅπερ οὐδαμοῦ ἂν ἀλλαχοῦ φωραθείη Πλάτων ἁμαρτών. Καὶ γάρ τοι καὶ ὑπὲρ Ἱπποκράτους νεανίσκου ὄντος ἐν τῷ Πρωταγόρᾳ ὁ Σωκράτης λέγει πρὸς τὸν σοφιστὴν ἐξουσίαν ποιήσαντος τούτου καὶ μακρὰ πρότερον διαλεχθέντος (310 E κέ.).

679 D.

(ΑΘ. Γενεαὶ διαβιοῦσαι πολλαὶ τοῦτον τὸν τρόπον τῶν πρὸ τοῦ κατακλυσμοῦ γεγονότων καὶ τῶν νῦν ἀτεχνότεροι μὲν καὶ ἀμαθέστεροι πρός τε τὰς ἄλλας μέλλουσιν εἶναι τέχνας καὶ πρὸς τὰς πολεμικὰς ὅσαι τε πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν γίγνονται τὰ νῦν καὶ ὅσαι δὴ κατὰ πόλιν μόνον αὐτοῦ, δίκαι καὶ στάσεις λεγόμεναι.

Ἀκατανόητον μὲν δὴ τὸ λεγόμενον καθίσταται, ἐὰν κατὰ Σταλλβαῦμον μετὰ τὸ μόνον ἡ ὑποστιγμὴ μετατεθῇ. Ἀλόγως δ' ἡμῖν Ῥιττῆρος δοκεῖ τὸ αὐτοῦ αὐτῶν μεταλλάττειν βούλεσθαι· τὸ γὰρ αὐτοῦ κάλλιστ' ἔχον φαίνεται ἁπλῶς τε καὶ ἀβιάστως σκοποῦντι καὶ λογιζομένῳ, τὸ κατὰ πόλιν ἐν πλεονασμῷ πάλιν λέγον, ἵνα τόνον τῷ τούτου νοήματι παράσχῃ καὶ ἰσχυρῶς τοῦ ὅσαι τε πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν διακριθῇ. Εἰ δ' ἐλέχθη αὐτῶν ἀντὶ αὐτοῦ, μετὰ τὸ ὅσαι δὴ ἂν ἐτάχθη, ἀλλ' οὐ μετὰ τὸ μόνον οὐδαμῶς.

Οὐδ' ἡ Βοδάμου δ' εἰκασία, ᾗ ὀνόματι ἀντὶ τοῦ μόνον αὐτοῦ γραπτέον ἂν εἴη, οὐδ' αὕτη μείζονα λόγον ἔχουσα φαίνεται, ἀχρείου παντάπασι πρὸς τὸ λεγόμενον τοῦ ὀνόματι ὄντος),

680 A.

ΑΘ. Ἆρ' οὖν ἐκεῖνοι μὲν οὔτε ἐδέοντο νομοθετῶν οὔτε πω ἐφίλει κατὰ τούτους τοὺς χρόνους γίγνεσθαι τὸ τοιοῦτον.

Τὸ κατὰ σύνεσιν λεγόμενον περὶ τὸν λόγον σχῆμα ἐν Νόμοις τολμηρότερον μὲν ἐσχηματισμένον, πολλῷ δὲ πυκνότερον ἢ κατὰ Πλάτωνα καὶ τοὺς ὁμολογουμένους αὐτοῦ διαλόγους εὑρίσκεται ὄν· αὐτίκα γὰρ τοιοῦτον ἂν ἴδοις ἐγγύς που ἐνταῦθα λεχθέν, ὃ τότε ἐν ἐκείνοις παρῆν, ὅ ἐστιν ἀχρύσους καὶ ἀναργύρους εἶναι (679 B) καὶ ἀτεχνότεροι καὶ ἀμαθέστεροι πρὸς τὸ γενεαὶ λεχθὲν (673 D) καὶ βασιλεῖαι τρεῖς --- **οἱ μὲν -- οἱ δὲ** (684 A) καὶ πλεῖστα ἄλλα τοιαῦτα (685 E, 692 D, 694 D, 696 C, 701 E, 707 A, 714 A, 715 A, 876 B, 933 E, 945 E, 950 A).

680 B.

ΑΘ. Δοκοῦσί μοι πάντες τὴν ἐν τούτῳ τῷ χρόνῳ (τῷ εὐθὺς μετὰ κατακλυσμὸν) πολιτείαν δυναστείαν καλεῖν, -- λέγει δ' αὐτήν που καὶ Ὅμηρος γεγονέναι περὶ τὴν τῶν Κυκλώπων οἴκησιν.

Ἡ δυναστεία τοὔνομα τὴν τῶν ὑστέρων πατριαρχίαν λεγομένην βουλόμενον τοῦ τοὺς Νόμους συνθέντος ἔοικεν εἶναι χρῆσίς τις μόνον, Πλάτων δ' ἄλλο ταύτην ἐν τοῖς ὄντως οἰκείοις αὐτοῦ διαλόγοις εὑρίσκεται εἰπών. Ἀρχὴ γάρ πρώτη τις ἂν εἴη καὶ δεσποτεία ἑνὸς ἢ πολλῶν κατὰ Πλάτωνα, οἷα ἐν Γοργίᾳ που εἴρηται αὐτῷ (492 B), ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα ἢ τυραννίδα ἢ **δυναστείαν** καὶ ἐν Θεαιτήτῳ (176 C) αἱ δὲ ἄλλαι δεινότητές τε δοκοῦσι καὶ σοφίαι ἐν μὲν ταῖς πολιτικαῖς **δυναστείαις** γιγνόμεναι φορτικαί, ἐν δὲ ταῖς τέχναις βάναυσοι καὶ τῆς Πολιτείας που (499 B) πρὶν ἂν τῶν νῦν ἐν **δυναστείαις** ἢ βασιλείαις ὄντων υἱέσιν ἢ αὐτοῖς ἔκ τινος θείας ἐπιπνοίας ἀληθινῆς σοφίας ἀληθινὸς ἔρως ἐμπέσῃ. Ἄλλοθι δέ που τῆς Πολιτείας (544 D) ἄλλο λέγει τὴν δυναστείαν εἰπών· καταλέξαι

γὰρ πολιτειῶν πονηρῶν ἰδέας τέτταρας, τήν τε Κρητικὴν καὶ Λακωνικὴν καὶ τὴν ὀλιγαρχίαν καὶ τὴν δημοκρατίαν καὶ τὴν τυραννίδα, οὐδεμίαν ἑτέραν πολιτεῖαν φησὶν εἶναι, ἥτις ἐν εἴδει διαφανεῖ πως κεῖται· «**δυναστεῖαι** γάρ, φησίν, καὶ ὠνηταὶ βασιλεῖαι - - μεταξύ τι τούτων πού εἰσιν».

Ὀλιγαρχία δέ τίς ἐστιν καὶ ἡ ἐν τοῖς Ἑλληνικοῖς που (5, 4, 46) τοῦ Ξενοφῶντος δυναστεία λεγομένη. Ἀριστοτέλει δὲ ἐναντίον τι ἡ δυναστεία τῇ πολιτείᾳ (Πολιτ. 1272b-10) λέγεται εἶναι τάδε που εἰπόντι «οὐ πολιτεία ἐστίν, ἀλλὰ δυναστεία»· παραβάλλοιμεν δ' ἂν τῷδε καὶ τὸ ὀλίγον ἔμπροσθεν (-2) «οὐ πολιτική, ἀλλὰ δυναστευτική» ταὐτὰ βουλόμενον λέγειν. Ὀλιγαρχίαν δὲ διαφθαρεῖσαν τὴν δυναστείαν εἶναι Ἀριστοτέλης φησὶν κατὰ Ῥιττῆρον οὐδὲν πλέον διδάσκοντα, ἀλλὰ λέγοντα μόνον.

680 D.

(ΑΘ. Μῶν οὖν οὐκ ἐκ τούτων τῶν κατὰ μίαν οἴκησιν καὶ κατὰ γένος διεσπαρμένων (τοιαῦται πολιτεῖαι γίγνονται)- -;
ΚΛ. Πάνυ μὲν οὖν.
ΑΘ. Μετὰ δὲ ταῦτά γε εἰς τὸ κοινὸν μείζους ποιοῦντες πόλεις πλείους συνέρχονται.

Τὸ πόλεις ἀτόπως δὴ πρὸς τὸ ἐνταῦθα λεγόμενον ἔχον, οὐδενός πω λόγου περὶ πόλεων ὄντος, Ναβῆρος (Obs. crit. σ. 16) ἐπαύλεις μετέβαλεν, ὅπερ πάνυ εὐλόγως Σάνζος οὐκ ἐβουλήθη ἐγγράψαι οὔτε πρὸς τὸν ὅλον εὐδοκιμοῦν πως λόγον, τὴν ἐν ἀγροῖς οἴκησιν πρὸς τὴν ἄστει σημαῖνον, οὔτε τῶν δοκίμων οὐδενὶ ὁμοίως εἰρημένον, ἀλλὰ τῶν ὑστέρων Διοδώρῳ τε καὶ Πλουτάρχῳ καὶ Ἀθηναίῳ καὶ εἴ τινι ἑτέρῳ.

Ἡμῖν δέ γε δοκεῖ παρέγγραπτον εἶναι τὸ πόλεις, ἑρμηνευτοῦ δή του οὐ πάνυ τι αἰσθομένου, ὡς ἐν τῷ μείζους ποιοῦντες πλείους συνέρχονται **οἰκήσεις** τοὔνομα ἀκούει, ἀπὸ τοῦ ἄρτι εἰρημένου κατὰ μίαν οἴκησιν ῥᾷστα νοούμενον, ᾧ καὶ ἐναντίον εἶναι τοῦτο δοκεῖ· δηλοῖ δὲ καὶ τὸ εὐθὺς μετ' ὀλίγον λεγόμενον (681 A) μίαν **μεγάλην** ἀποτελοῦντες καὶ ἔτι σαφέστερον τὸ ὀλίγῳ πορρωτέρω ὄντι (αὐτ.), **τῶν οἰκήσεων** τούτων **μειζόνων** αὐξανομένων).

681 Α.

ΑΘ. -- περιβόλους τε αἱμασιώδεις τινὰς τειχῶν ἐρύματα τῶν θηρίων ἕνεκα ποιοῦνται.

Μικροῦ καὶ οὐδενὸς λόγου ἄξιον ἂν ἦν κατηγορεῖν τοῦ συγγραφέως ὅτι ἀήθεσι κέχρηται ὀνόμασιν, εἴ τι μέτρον ταῦτα ποιῶν εἶχεν. Ἀλλὰ μυρία μὲν αὐτοῦ τοιαῦτα ἄλλοτ' ἀλλαχοῦ καὶ ὀλίγον ὄπισθεν ἔτι τοῦ λόγου μεμήνυται ἡμῖν· τοῦ δ' ἐν τούτοις μέτρου τε καὶ ἀμετρίας οὐ φαύλου ὄντος φρονοῦντι κριτηρίου, εἴτε ἀλλότριος εἴτε μὴ λόγος συγγραφέως ἐστὶ πρὸς ἄλλους αὐτοῦ ὁμολογουμένους οἰκείους παραβαλλόμενός τε καὶ βασανιζόμενος, διὰ ταῦτ' οὐ πάρεργον ἡμῖν ἐγένετο καὶ τοῦτο, περὶ τῶν μόνον ἐν Νόμοις ὀνομάτων εἰρημένων τὸν προσήκοντα λόγον ποιεῖσθαι καὶ σκοπεῖν εἴτε ποιητικὰ μόνον καὶ τοῦ ὑστέρου λόγου ὄντα τυγχάνει εἴτε καὶ τῶν δοκίμων παλαιῶν ὀνοματικὴ οὐσία τε καὶ κτῆσις.

Καὶ δὴ καὶ τὰ νῦν τὸ μὲν αἱμασιώδης μόνον ἡμεῖς τὸν τοὺς Νόμους συνθέντα ηὕρομεν ποιήσαντα καὶ γράψαντα, τὴν δ' αἱμασιὰν πολλῶν ἄλλων εἰπόντων παλαιῶν τε καὶ ὑστέρων Πλάτων ἀγνοῶν φαίνεται· εἰκὸς δ' ἂν εἴη καὶ τὸ αἱμασιώδης. Τὸ δὲ ἔρυμα ποιητικὸν μὲν καὶ τοῦ ἀρχαίου Ἀττικοῦ λόγου καὶ Ἡροδότου καὶ Ξενοφῶντος ἄρα μιμουμένου οἰκεῖον ὄνομα εὑρίσκεται ὄν, τῶν δὲ νεωτέρων Ἀττικῶν ἀλλότριον εἶναι δοκεῖ. Ὁ δὲ τῶν Νόμων ἡμῖν συγγραφεὺς πρὸς ἄλλοις πολλοῖς θηρεύων ἔγραψε καὶ τοῦτο τὸ καινόν, φύσει τῶν τοιούτων ὀρεγόμενος.

681 Β.

ΑΘ. -- καὶ κατὰ τρόπον οὕτως ἑκάστους τὰς αὑτῶν ἀναιρέσεις εἰς τοὺς παῖδας ἀποτυπουμένους καὶ παίδων παῖδας, ὃ λέγομεν, ἥκειν ἔχοντας ἰδίους νόμους εἰς τὴν μείζονα συνοικίαν.

Ἀντὶ τοῦ ἀναιρέσεις ἀηθεστέρου δοκοῦντος εἶναι ὑπὸ μὲν τοῦ τῶν νεωτέρων κριτικῶν ἀεὶ αἱρέσεις γράφεται, ὑπὸ δὲ τοῦ ἂν αἱρέσεις καὶ ὑπ' ἄλλου αἱρέσεις. Δίκην μέντοι Σταλλβαῦμος πολλὴν ἔχει τὸ τῆς γραφῆς σῴζων ὄνομα, ἴδιον ὂν ἐν τοιαύτῃ δυνάμει

τοῦ τοὺς Νόμους γράψαντος ἀνδρὸς καὶ ἀλλαχοῦ ὅμοια καὶ παραπλήσια αὐτῷ χρησαμένου (847 B), Μισθῶν δὲ αὐτοῖς πέρι καὶ **τῶν ἀναιρέσεων** τῶν ἔργων - - μέχρι δραχμῶν πεντήκοντα ἀστυνόμοι δικαζόντων. Καὶ τοῦτ' ἄρα τοὔνομα, ἡ ἀναίρεσις ἀντὶ τοῦ αἵρεσις οὖσα τὴν ἰδίαν τοῦ γράψαντος φύσιν δηλοῖ καὶ οὐχ οἵαν τὴν Πλάτωνος, ὥστε καινὰ μὲν ὀνόματα χαίρειν τυποῦντα, καινῶς δὲ τοῖς ὑπάρχουσι χρώμενον.

681 C.

ΑΘ. Τὸ γοῦν μετὰ ταῦτα ἀναγκαῖον αἱρεῖσθαι τοὺς συνελθόντας τούτους κοινούς τινας ἑαυτῶν, οἳ δὴ - - αὐτοὶ μὲν νομοθέται κληθήσονται, τοὺς δὲ ἄρχοντας καταστήσαντες, ἀριστοκρατίαν τινὰ ἐκ τῶν δυναστειῶν ποιήσαντες ἢ καί τινα βασιλείαν ἐν ταύτῃ τῇ μεταβολῇ τῆς πολιτείας οἰκήσουσι.

Ἐναντίως ἐν τούτοις ἔχει δὴ ἡ σύνταξις τῇ τοῦ λόγου διανοίᾳ· διὰ μὲν γὰρ ἐκείνην οἱ νομοθέται εἰσὶν μόνοι οἳ ἐν ταύτῃ τῇ μεταβολῇ τῆς πολιτείας οἰκήσουσι, διὰ δὲ τὴν τοῦ λόγου διάνοιαν καὶ τὴν ὀρθότητα οἱ συνελθόντες. Ἀτοπίαν δὲ τοιαύτην, ὡς γ' ἐμὲ κρῖναι, οὐκ ἂν Πλάτων ποτ' ὦφλεν.

681 D.

(ΑΘ. Τρίτον τοίνυν εἴπωμεν ἔτι πολιτείας σχῆμα, ἐν ᾧ δὴ πάντα εἴδη καὶ παθήματα πολιτειῶν καὶ ἅμα πόλεων συμπίπτει γίγνεσθαι.

Ἐν τῇ πλοκῇ πάντα εἴδη πᾶς δήπου ἂν αἴσθοιτο ὅτι σαφῶς μετὰ τὸ πάντα τὸ τὰ ἐκπεπτωκὸς τυγχάνει).

682 A.

ΑΘ. - - θεῖον γὰρ οὖν δὴ καὶ τὸ ποιητικὸν [ἐνθεαστικὸν] ὂν γένος ὑμνῳδοῦν πολλῶν τῶν κατ' ἀλήθειαν γιγνομένων - - ἐφάπτεται.

Ἡ τῶν μορίων οὖν καὶ δὴ συμπλοκὴ διττὴ μὲν τυγχάνει οὖσα τὸ σχῆμα, οὖν δὴ ἢ δὴ οὖν λεγομένη, διττὴ δὲ τὴν χρείαν, συλλογιστικὴ ἢ βεβαιωτικὴ τοῦ ἀληθοῦς ἢ μὴ τῶν λεγομένων, καθάπερ ἡ ἐνταῦθα, μάλιστα μετὰ τὸ γὰρ ἐν τῷ λόγῳ ταττομένη.

Διεξιοῦσι δὲ ἐφ' ᾧ ἡμῖν ἡ ζήτησις τὸ τρίτον τοῦτο βιβλίον τῶν Νόμων ὑπερβάλλον πλήθει τὸ ζεῦγος τοῦτο συλλογιστικὸν ἔδοξεν εἰρῆσθαι. Ἐλθόντες δ' ἐπὶ λογισμοὺς ἐποριςάμεθ' ἄθροισμα τοῦ ἀριθμοῦ τῆς συμπλοκῆς τοιαύτης ἐν μὲν ταῖς ἓξ καὶ εἴκοσι τοῦ βιβλίου τούτου σελίσι (676-702) ἕξ, ἐν δ' ἰσαρίθμοις δύο μερῶν τῆς Πολιτείας σελίσιν (449-475, 595-621) ἀνὰ μίαν μόνον, τοῦ δὲ Θεαιτήτου δύο (183-209) καὶ τοῦ Πρωταγόρου (335-361) καὶ Γοργίου (471-497) μίαν. Ὅθεν ἄν τις σαφῶς τεκμαίροιτο ἕτερον εἶναι τὸν περὶ τοὺς Νόμους σπουδάσαντ' ἄνδρα ἢ τὸν περὶ τοὺς ἀναμφισβητήτους διαλόγους τοῦ Πλάτωνος. Ἀπίθανα δ' ἔμοιγε καὶ παντὶ ἁπλῶς λογιζομένῳ διδάσκουσιν οἱ τῷ χρόνῳ φάσκοντες οὕτω Πλάτωνα λέγοντα καὶ γράφοντα ἀλλοιωθῆναι.

Τὸ δ' ἐνταῦθα ὑμνῳδεῖν ἐπισκοπούμενοι τὸ ᾄδειν μὲν ἁπλῶς εὕρομεν βουλόμενον, ποιηταῖς δὲ μόνον εἰρημένον, Αἰσχύλῳ τε μάλιστα καὶ Εὐριπίδῃ, καὶ τῶν ὑστέρων τισί. Ἀλλὰ μὲν δὴ καὶ τὸν ὑμνῳδὸν καὶ τὴν ὑμνῳδίαν οὐκ ἄλλως ἔχοντ' ἂν εὕροις, Εὐριπίδεια μάλιστα καὶ τῶν ὑστέρων ἐν χρείᾳ ὀνόματα. Τοιαῦτα δὲ ὄντα ἔμελλε δὴ φίλα εἶναι τῷ καινοῖς καὶ ἀήθεσιν ὀνόμασι καλλωπίζεσθαι φιλοῦντι συγγραφεῖ ἡμῖν τούτῳ.

682 A.

ΑΘ. - - Τάχα γὰρ ἂν σημήνειέ τι τῆς ἡμετέρας περὶ βουλήσεως.

Οὐκ ἂν ὀκνοῖμεν τοῖς δυσαριθμήτοις ἐν τῇ τῶν Νόμων λέξει τολμήμασι καὶ τὴν μάλιστ' ἀήθη τῷ καταλογάδην λόγῳ προθέσεως ἐπένθεσιν προσθεῖναι καὶ μνείαν ποιήσασθαι· οὐ γὰρ σμικρόν μοι δοκεῖ καὶ τοῦτο συμβάλλεσθαι εἰς τὸ ἰδεῖν καὶ θεωρῆσαι τὸ ἐπὶ πᾶσιν ἰδίωμα τοῦτο τοῦ γράψαντος τὸ μάλιστ' αὐτὸν διακρῖνον τοῦ Πλάτωνος, ὅς γε δὴ ποιητικὰ μὲν πολλάκις εἰς ἐνάργειαν γραφικώτερον λέγει, ἀλλὰ κοινοῖς καὶ συνήθεσιν ὡς τὸ πολὺ ὀνόμασι καὶ καθαρᾷ τῇ λέξει καὶ

σαφῶς τὸ τοῦ λόγου εἰκονικὸν σημαίνων τῇ τοῦ οἷον ἢ ὥσπερ ἐμβολῇ καὶ τῶν ἄλλων τοιούτων παραβολικῶν.

682 C.

ΑΘ. Καὶ ἄλλαι γε οἶμαι πόλεις τότε κατῴκουν ἤδη πολλαὶ πληθυόντων τῶν ἀνθρώπων.

Τὸ πόλιν κατοικεῖν ἀντὶ τοῦ ἐκτίσθαι ἢ ἱδρῦσθαι ἢ εἶναι μόνος τῶν πάντων ὁ τοὺς Νόμους γράψας εἶπεν, οὐ Πλάτωνος μόνον ἀλλὰ καὶ τῶν ἄλλων Ἀττικῶν ἑαυτὸν διακρῖνον, ἀντὶ δὲ τοῦ πόλιν κεῖσθαι τὸ πόλιν κατοικεῖν ἢ οἰκεῖν τούτῳ τε (677 C, 682 C) καὶ Ξενοφῶντί που εἴρηται (Ἑλλ. 7, 1, 3. 5, 5.), κοινὸν δὲ δὴ τῶν Ἀττικῶν τυγχάνει ὂν ἀντὶ τοῦ ζῆν ἢ διάγειν λεγόμενον.

682 E.

ΑΘ. - - καὶ δὴ ταῦτά γε ἤδη πάνθ' ὑμεῖς, ὦ Λακεδαιμόνιοι, τἀντεῦθεν μυθολογεῖτε καὶ διαπεραίνετε.

ΜΕ. Τί μήν;

Ἡ κλητικὴ ὦ Λακεδαιμόνιοι πρὸς ἕνα τὸν Μέγιλλον προσαγορευομένη, βακχικὴν καὶ διθυραμβώδη τινα τοῦ λόγου μηνύουσα ἕξιν, εἰκότως Βοίκχῳ ἀτόπως ἔδοξεν ἔχειν καὶ ἐπανορθοῦν ἐπεχείρησεν ἀντὶ τοῦ ὦ οἱ ἀναγιγνώσκων. Ἀλλὰ μάτην ἐφάνη πονήσας, τὸν ἄκαιρον ἐνθεασμὸν τοῦ συγγραφέως κολούων· καὶ γὰρ ἀλλαχοῦ που τῶν Νόμων πρὸς Μέγιλλον αὖθις τοῦ λόγου ὄντος ὅμοια καὶ παραπλήσια φθεγγόμενος εὑρίσκεται (696 Α) Δίκαιον μήν, **ὦ Λακεδαιμόνιοι**, τοῦτό γε τῇ πόλει ὑμῶν ἀποδιδόναι, ἀλλότριον λόγου ἰδίωμα Πλάτωνος καταψευδόμενος.

682 E.

ΑΘ. Ὅθεν δὴ κατ' ἀρχὰς ἐξετραπόμεθα περὶ νόμων διαλεγόμενοι, περιπεσόντες μουσικῇ τε καὶ ταῖς μέθαις νῦν ἐπὶ τὰ αὐτὰ πάλιν ἀφίγμεθα, ὥσπερ κατὰ θεὸν καὶ ὁ λόγος ἡμῖν οἷον λαβὴν ἀποδίδωσιν.

Ὁ αὐτὸς μάταιος τοῦ συγγραφέως ἡμῖν ἀγὼν ἐλέγχεται ὢν ὁ πρὸς

σύνθεσιν καὶ συναγωγὴν τῶν χύδην καὶ εἰκῇ ἐν τῷ πρώτῳ καὶ δευτέρῳ βιβλίῳ αὐτῷ εἰρημενων, ὅνπερ πολλαχοῦ ἀλλαχοῦ καταλαβόντες ἐν ταῖς προτέραις ἡμῶν πραγματείαις δηλῶσαι τοῖς ἐντευξομένοις ἐπειράθημεν.

Ὅσον δ' ἀνεπιτήδειός τε καὶ ἄτεχνος ὁ τῆς ὅλων μερῶν συνθέσεως τρόπος, ἐάν τις πρὸς τὸν ἐν τῇ Πολιτείᾳ ἐξετάσῃ, οἷος ὁ ἐν ἀρχῇ τοῦ δευτέρου βιβλίου, ἔνθα τῷ περὶ ὠφελείας ἢ βλάβης τῆς δικαιοσύνης λόγῳ ὁ περὶ τῆς δικαιοσύνης αὐτῆς ὡς ἀγαθοῦ συνάπτεται, ἄνευ τῶν ἀπ' αὐτῆς τοῖς ἀνθρώποις γιγνομένων καὶ ἀποβαινόντων, ζημίας τε καὶ κέρδους. Ταῦτα δ' ἐκεῖ διαπεραίνεται οὐκ ἀτέχνως, ὥσπερ ἐνταῦθα, αὐτοῦ εἰσηγουμένου τοῦ Σωκράτους, ἀλλὰ χαριέστατα Γλαύκωνος προσαναγκάζοντος.

Ὡς δ' ἀηδής τε καὶ ἄχαρις εἶναι δοκεῖ ἡ ἐνθάδε εἰς ἄλλα τοῦ λόγου μετάβασις παρὰ τὴν ἐν ἀρχῇ τοῦ πέμπτου βιβλίου τῆς Πολιτείας κρινομένη, τὴν ἀπὸ τοῦ περὶ ἀγαθῆς πόλεως καὶ πολιτείας λόγου εἰς τὸν περὶ γυναικῶν τε καὶ παίδων κοινωνίας, ἐν ᾗ Ἀδείμαντος μετὰ Πολεμάρχου οἷον ἀπορραθυμοῦντα Σωκράτη καὶ ὅλον εἶδος λόγου ἐκκλέπτειν βουλόμενον ἐπιχειρῆσαι αὐτῷ ἐπαναγκάζουσιν.

682 E.

(ΑΘ. -- ἥκει γὰρ (ὁ λόγος) ἐπὶ τὴν εἰς Λακεδαίμονα κατοίκισιν αὐτήν, ἣν ὑμεῖς ὀρθῶς ἔφατε κατῳκίσθαι καὶ Κρήτην ὡς ἀδελφοῖς νόμοις.

Ἥ τε διάνοια τοῦ λόγου καὶ τῆς συντάξεως τὸ σκολιὸν ἀποβάλλειν κελεύουσι τὴν ῥῆσιν καὶ Κρήτην ὡς ἀδελφοῖς νόμοις. Ὁ γὰρ δὴ λόγος εἰς τὴν Λακεδαίμονος μόνον οἴκισιν ἥκει περὶ τῆς Ἡρακλειδῶν καθόδου ὤν, ὅπερ μάλιστ' ἐναργῶς ἄν τις ἴδοι, ἐὰν τά τε αὐτόθι που νῦν δὲ τετάρτη τις ἡμῖν αὕτη πόλις σὺν τοῖς ἑξῆς ἀκούσῃ (683 A) καὶ τὸ μικρὸν προϊόντι γενώμεθα ταῖς διανοίαις ἐν τῷ τότε χρόνῳ σὺν τοῖς ἑξῆς (683 C), ἐν οἷς οὐδέν ἐστι περὶ Κρήτης λεγόμενον. Ἔτι δὲ παρέλκει μὲν τὴν σύνταξιν τὸ Κρήτην, βίᾳ δ' ὑπονοητέον μετὰ τὸ ἀδελφοῖς νόμοις τὸ κατῳκισμένην. Οὐδὲν δ' ἧττον σκολιὰ δοκεῖ εἶναι καὶ ἡ κατ' Ἄστον σύνταξις τῶν ὀνομάτων, ᾗ γε δὴ τὸ καὶ Κρήτην ἀπὸ τοῦ ἀδελφοῖς ἂν κρέμαιτο. Ἐκ

δὴ τούτων πάντων τὰ ἀπὸ τοῦ καὶ Κρήτην μέχρι τοῦ νόμοις ἀγκύλαις ἐμβλητέα μοι δοκεῖ εἶναι).

683 A.

ΑΘ. -- Νῦν οὖν δὴ τοσόνδε πλεονεκτοῦμεν τῇ πλάνῃ τοῦ λόγου, διὰ πολιτειῶν τινων καὶ κατοικισμῶν διεξελθόντες.

Τὸ διὰ πολιτειῶν τινων καὶ κατοικισμῶν διεξελθόντες ποιητικώτερον ἔχον, λεχθὲν δ' ἀντὶ τῆς νήφοντος ἀνδρὸς συνήθους ῥήσεως πολιτείας τινὰς καὶ κατοικισμοὺς τῷ λόγῳ διεξελθόντας ὁμοῖον μὲν ὄντα ἑαυτῷ ἡμῖν τὸν συγγραφέα ἀποφαίνει, πλεῖστ' ἤδη τοιαῦτ' ἡμῖν ἐλεγχθέντα ἀκαίρως νεανιευόμενον καὶ παίζοντα, διαφορώτατον δὲ Πλάτωνος, οὗ γε δὴ τὸ λεγόμενον ποιητικὸν οὐκ ἐν τοῖς τοιούτοις ἐστὶν οὐδαμῶς, ἀλλ', ὅπερ λέγω, ἔν τε τῇ ἐπικῇ ἐναργείᾳ τῆς τῶν πραγμάτων λόγῳ ἐκφράσεως καὶ οἷον ζωγραφίας, καὶ ἐν τῇ κατὰ καιρὸν εἰκόνων χρήσει καὶ παραβολῶν, ὧν σπανιώτατ' ἄπεστι τὸ οἷον καὶ τὰ τοιαῦτα τὸ εἰκονικὸν τοῦ λόγου μηνύοντα.

683 D.

ΑΘ. -- τὸ δὲ δὴ μετὰ τοῦτο ἔδοξεν αὐτοῖς, ὥς γε λέγεται τὸ τοῦ μύθου, τριχῇ τὸ στράτευμα διανείμαντας τρεῖς πόλεις κατοικίζειν, Ἄργος, Μεσσήνην, Λακεδαίμονα.

Τὸ ἀσύνδετον σχῆμα τόδε ὁρῶν Ἄργος, Μεσσήνην, Λακεδαίμονα, μάλιστ' ἄν τις θαυμάσειε πρὸς ὅντινα ἐλέχθη καιρὸν καὶ ὅ,τι βουλόμενος ἔγραψεν ὁ γράψας. Οὔτε γὰρ τάχους ἢ σφοδρᾶς φορᾶς οὐδὲν ὁ λόγος οὗτος προσδεῖται, οἷον τὸ «εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε ('Αρ. 'Ρητ. 3), οὔτ' αὖ πόλλ' ἄττα ἐν αὐτῷ καταλέγεται καὶ ἄλλων ἐν νῷ λανθανόντων, ὥσπερ ἐν τῷ «ἐπιτήδεια πολλὰ εἶχον, ἄλευρα, οἶνον, κριθὰς (Ξ. 'Αν. 3, 4, 31). Ἔοικεν οὖν ῥητορικόν τι τοῦ λόγου εἶναι σχῆμα διὰ Δημοσθένη καὶ τοὺς κατ' αὐτὸν ῥήτορας κρατῆσαν καὶ ἀλόγως ἔπειτα πολλάκις λεγόμενον, καθάπερ ἐνταῦθα.

683 D.

ΑΘ. Καὶ βασιλεὺς μὲν Ἄργους Τήμενος ἐγίγνετο, Μεσσήνης δὲ Κρεσφόντης, Λακεδαίμονος δὲ Προκλῆς καὶ Εὐρυσθένης.

Ὡς περὶ Θεόγνιδος (Ἀθην. τ. 8, 487) καὶ περὶ Ἐπιμενίδου (Ἀθην. τ. 8, 210) οὕτω καὶ περὶ τοῦ πρώτου τῶν Λακεδαιμονίων βασιλέως ἰσχυρῶς τῷ παραδεδομένῳ λόγῳ ὁ θαυμαστὸς τῶν Νόμων συγγραφεὺς ἐναντιοῦται, Εὐρυσθένη καὶ Προκλέα εἶναι φάσκων, ἔπειτα δ' αὐτὸς αὐτῷ διαφωνῶν Ἀριστόδημον λέγων (192 Β), ἥκισθ' οὕτω Πλάτων' ἑαυτὸν μηνύων, ὅς γε δὴ οὐδὲν τοιοῦτον πάσχων ἐλέγχεται. Οὐδὲν δὲ τῷ περὶ τούτου κοινῷ πάντων λόγῳ Θουκυδίδης διαμάχεται γράφων ἐν τῷ πέμπτῳ βιβλίῳ (16) «Τοῖς ὁμοίοις χοροῖς καὶ θυσίαις καταγαγεῖν (Πλειστοάνακτα), ὥσπερ ὅτε τὸ πρῶτον Λακεδαίμονα κτίζοντες τοὺς βασιλέας καθίσταντο». Οὐ γὰρ ἀρχαιολογῶν ἀκριβολογεῖται ὁ συγγραφεὺς ταῦτα λέγων, ἀλλὰ προὔργου ποιῶν τὸ τοῖς ὁμοίοις χοροῖς καὶ θυσίαις καταγαγεῖν καὶ τούτῳ τὸν νοῦν προσέχων ἀμελέστερον τοὺς βασιλέας ἀντὶ τοῦ τὸν βασιλέα εἶπε κατὰ τοὺς ἐφ' ἑαυτοῦ χρόνους λέγων καὶ ἀναχρονίζων.

Ὁμοίως δὲ παρὰ πάντα παραδεδομένον λόγον λέγεται καὶ τὸ εὐθὺς μετὰ ταῦτα, ὡς «πάντες δὴ τούτοις (τοῖς πρώτοις βασιλεῦσιν) ὤμοσαν οἱ τότε (Πελοποννήσιοι) βοηθήσειν, ἐάν τις τὴν βασιλείαν αὐτῶν διαφθείρῃ».

Παριστορῶν δ' οὐδὲν ἧττον ἐλέγχεται ἔνθα (692 D) ἱκανὰ προϊὼν λέγει, ὡς δὴ ἐν τοῖς Μηδικοῖς Μεσσήνιοι Λακεδαιμονίοις πολεμοῦντες διεκώλυον ἐπαμῦναι τῇ Ἑλλάδι.

663 E.

ΑΘ. Βασιλεία δὲ καταλύεται, ὢ πρὸς Διός, ἤ καί τις ἀρχὴ πώποτε κατελύθη μῶν ὑπό τινων ἄλλων ἢ σφῶν αὐτῶν; ἢ νῦν δὴ μὲν ὀλίγον ἔμπροσθεν τούτοις περιτυχόντες τοῖς λόγοις οὕτω ταῦτ' ἐτίθεμεν, νῦν δ ἐπιλελήσμεθα.

Οὐδὲ πρὸς ἓν μὲν τῶν εἰρημένων Σουσεμῖλός τε καὶ Βροῦνσος (σ. 16) ταῦτα λέγεσθαί φασιν, Ῥιττῆρος δὲ εἴς τινας τοῦ πρώτου καὶ δευτέρου βιβλίου λόγους βλέποντα σὺν ἱδρῶτι μὲν πολλῷ, ἧττον δ' εὐτυχῶς δεῖξαι ἀγωνίζεται (σ. 97) ἢ εἰς τὰ περὶ στάσεων τῶν ἐν Ἑλλάδι μετὰ τὴν ἐξ Ἰλίου τῶν Ἑλλήνων ἀναχώρησιν λεγόμενα (482 D). Τοιαῦται δ' ἀσαφεῖς καὶ ἀόριστοι πρὸς ἀλλαχοῦ εἰρημένα ἀναφοραὶ τῶν λεγομένων πολλαὶ Σουσεμίλῳ ηὑρημέναι καταγγέλλονται, αἵσπερ ἄλλαι τινὲς καὶ ὑπὸ Ῥιττήρου προστίθενται (σ. 98).

Τοιαύτην δὲ περὶ τὴν σύνθεσιν ταραχὴν καὶ ὅλως συγγραφικὴν πονηρίαν οὐδ' ἐν ἑνὶ τῶν ὁμολογουμένων Πλατωνείων ἂν εὕροις διαλόγων, οὐδ' ἂν καταγνοίη τις καὶ πρεσβυτικοῦ ἔτι τοῦ Πλάτωνος. Οὐδ' ἔστιν αἰτίαν τούτου εἰπεῖν ἀνεπιτήδειόν τε καὶ σκαιὰν συγγραφικῶν αὐτοῦ περιλειμμάτων συγκόλλησιν ὑπὸ Φιλίππου τοῦ Ὀποντίου δὴ γεγενημένην, ὡς Βρούνσῳ δοκεῖ. Ἡ γὰρ σύγκρισις καὶ ταραχὴ καὶ ἀσάφεια πάθος ὂν ἀναμφισβήτητον τοῦ τῶν Νόμων διαλόγου οὐκ ἐν ὅλοις μέρεσιν ἐλέγχεται μόνον καὶ ἐν τῇ συνθέσει καὶ οἰκονομίᾳ ἀλλὰ καὶ ἐν τοῖς καθ' ἕκαστον τοῦ λόγου καὶ τῆς λέξεως, ὡς πολλὰ ἤδη τοιαῦτα ἡμῖν γε παραδέδεικται.

683 E.

(ΑΘ. Οὐκοῦν νῦν δὴ μᾶλλον βεβαιωσόμεθα τὸ τοιοῦτον· περιτυχόντες γὰρ ἔργοις γενομένοις, ὡς ἔοικεν, ἐπὶ τὸν αὐτὸν λόγον ἐληλύθαμεν, ὥστε οὐ περὶ κενόν τι ζητήσομεν [τὸν αὐτὸν λόγον], ἀλλὰ περὶ γεγονός τι καὶ ἔχον ἀλήθειαν Γέγονε δὴ τάδε.

Ἡμῖν δοκιμώτερον ἂν πρός τε τὸν λόγον καὶ τὸ διανόημα δὲ ἀντὶ τοῦ δὴ γραφῆναι δοκεῖ. Οὐδὲν γὰρ ἀκολουθοῦν τοῖς εἰρημένοις οὐδ' ἐξ αὐτῶν συναγόμενον λέγεται, ἀλλὰ καινόν τι, εἰς ὃ ὁ λόγος μεταβαίνει, ἀπὸ τῆς πλείονος τῶν εἰρημένων βεβαιώσεως τῇ ἐπιδείξει ἀληθῶν καὶ γεγονότων γιγνομένης ἐπ' αὐτὰ τὰ ἔργα τε καὶ γεγονότα).

684 A-B.

ΑΘ --βασιλεῖαι τρεῖς βασιλευομέναις πόλεσι τριτταῖς ὤμοσαν ἀλλήλαις ἑκάτεραι -- βοηθήσειν --, βασιλῆς

τε βασιλεῦσιν ἀδικουμένοις καὶ δήμοις καὶ δῆμοι δήμοις καὶ βασιλεῦσιν ἀδικουμένοις

Πᾶς αἰσθάνεται ἐνταῦθα τὸν ἄχαρίν τε καὶ ψυχρὸν κατὰ Γοργίαν κόσμον τοῦ λόγου, ὅσος ἐν βραχεῖ τῷ συγγραφεῖ συμπεφόρηται, ἀναξιώτατα Πλάτωνι ἐν πᾶσι μέτρον ἔχοντι ὑποβεβλημένος.

684 C.

ΑΘ. Τό δέ γ' ἐστὶν ἀγαπητὸν πολλάκις εἰ καί τις μετὰ λύπης μὴ μεγάλης δύναιτο εὐεκτικὰ καὶ ὑγιᾶ σώματα ἀπεργάζεσθαι.

Τῶν ἀπ' Ἀριστοτέλους ἐν τῷ λόγῳ φανέντων ὀνομάτων ὁ εὐεκτικὸς ἔοικεν εἶναι, ἀλλ' οὐ πρότερον. Πολλὰ μὲν γὰρ αὐτὸν εἶπεν οὗτος, οὐδαμοῦ δ' ἄλλοθι τοῦ Ἀττικοῦ ἂν περιτύχοις λόγου ζητῶν, εἰ μή γε ἐνταῦθα. Τὸν δ' εὐέκτην τε καὶ εὔεκτον καὶ τὸ εὐεκτεῖν ὕστεροι μόνον Ἀττικισταὶ γεγραφότες τυγχάνουσιν, ἡ δ' εὐεκτία ὑπ' Ἀρχύτου κατὰ Στοβαῖον ἐρρήθη.

684 C.

(ΑΘ. Καὶ μὴν τοῦτό γε οἱ πολλοὶ προστάττουσι τοῖς νομοθέταις - - - ΜΕ. Τί μήν;

Ἅπαντα τὸν λόγον τοῦτον Σάνζος μὲν ὀβελίζει δοκοῦν Ζελλήρῳ, καὶ Σταλλβαύμῳ Ῥιττῆρος δὲ σῴζειν πειρᾶται τὴν αἰτίαν λέγειν αὐτὸν φάσκων τοῦ εὐθὺς προειρημένου λόγου, τοῦ ἀπειθεῖν δὴ τοῖς νόμοις τὰς πόλεις. Ἀλλὰ πρῶτον μὲν οὐ τούτου τοῦτο μόνον αἴτιον, τὸ μὴ καθ' ἡδονὴν τοῖς πολλοῖς τοὺς νόμους κεῖσθαι, ἀλλὰ καὶ ἕτερα πολλά· δηλοῖ δὲ τὰ πορρωτέρω που τοῦ βιβλίου λεγόμενα (690 D-691 A), ὡς τὸ πλεονεκτεῖν τῶν νόμων τοὺς βασιλέας, ὑπερηφάνως διὰ τρυφὴν ζῶντας, τοῦτο μάλιστα πάντων στάσεών ἐστι πηγή, ἀλλ' οὐχ οἱ δῆμοι. Ἔπειτα ἐχρῆν εἰπεῖν ἀρχόμενον τοῦ λόγου τούτου καὶ γάρ, ἀλλ' οὐ καὶ μὴν ἐναντιότητα σὺν προσθήκῃ σημαῖνον, ἀκαίρως παντάπασι πρὸς τὸ διανόημα πᾶν.

Τί δ' ἂν τις εἴποι τὸν λόγον, τὸν πλημμελῆ τῶν πολλῶν ἀξίωσιν ἐπανορθοῦντα, «τὸ δέ γ' ἐστιν ἀγαπητὸν πολλάκις, εἰ καί τις

μετὰ λύπης μὴ μεγάλης δύναιτο εὐεκτικὰ καὶ ὑγιᾶ σώματα ἀπεργάζεσθαι» ὅς οὕτως ἀτελῶς ἔχων ἐν τῷ παραβολῇ μόνον λήγει; Μηνύει οὖν διαφανῶς ὁ πᾶς λόγος οὗτος ἄλλως τε καὶ ἐξ ὧν Σταλλβαῦμός τε καὶ Ζελλῆρος λέγουσι πάντως κακὸν καὶ ἄτεχνον συγγραφέα ἢ παρεγγραφέα).

685 Β.

(ΑΘ. Τίν' οὖν ἂν σκέψιν καλλίω ποιησαίμεθα περὶ νόμων ἢ τούτων, οἳ ταύτας διακεκοσμήκασιν; ἢ πόλεων περὶ τίνων εὐδοκιμωτέρων τε καὶ μειζόνων κατοικίσεων σκοποίμεθ' ἄν;

Τὸ ταύτας οὕτω τάξεως ἔχον ἐν τῷ λόγῳ μόνον οὐχὶ φωνὴν ἀφιὲν ὧδε κελεύει τὰ τοῦ λόγου μετατάξαι·

Τίν' οὖν ἂν σκέψιν καλλίω ποιησαίμεθα περὶ νόμων; ἢ πόλεων περὶ τίνων εὐδοκιμωτέρων τε καὶ μειζόνων κατοικίσεων σκοποίμεθ' ἂν ἢ τούτων οἳ ταύτας διακεκοσμήκασιν;

Οὐδαμῶς γὰρ ἂν ἄλλως ὁ λόγος οὗτος ἔχοι ὑγιῶς τε καὶ κατὰ καιρόν. Ἔστι δὲ τὸ ἢ τὸ πρὸ τοῦ τούτων οὐ τὸ συγκριτικὸν λεγόμενον, ἥπερ Σταλλβαύμῳ δοκεῖ, ἢ τὴν περὶ τούτων (τῶν νόμων) νοοῦντι, ἀλλὰ διαζευκτικόν, ὥσπερ τὸ ἢ τὸ πρὸ τοῦ πόλεων περὶ τίνων. Τὸ γὰρ δὴ τούτων οὐκ ἔστιν ὅπως οὐκ ἂν εἰς τὸ οἳ διακεκοσμήκασι βλέποι, οὗτοι δ' εἰσὶ πάντως οὐχ οἱ νόμοι, ἀλλ' οἱ τῶν τριῶν Δωρικῶν πόλεων οἰκισταὶ βασιλεῖς καὶ νομοθέται περὶ ὧν τὸ διακοσμεῖν λέγεται οὐκ ἐνταῦθα μόνον ἀλλὰ καὶ ὀλίγα τοῦ λόγου τούτου διελθόντι (685 Δ) «ἡ τοῦ στρατοπέδου κατασκευὴ -- ὑπὸ βασιλέων -- κατακεκοσμημένη» καὶ (686 Α) «ὑπὸ γένους δὲ ἑνὸς τῶν βασιλέων -- διακεκοσμημένους (τοὺς Δωριᾶς)» καὶ (687 Α) «εἰ κατὰ τρόπον ἠπιστήθησαν τάξαι τὸ στρατόπεδον (τὰς τρεῖς πόλεις) οἱ τότε διακοσμοῦντες». Καὶ Βάδαμος δὲ παραβολικὸν τὸ ἢ τοῦ ἢ τούτων ἡγησάμενος εἶναι ὑπὸ τοῦ διακεκοσμήκασι δοκεῖ ἀναγκασθῆναι τὴν ἥκιστα πιθανὴν μεταβολὴν τολμῆσαι, ἀντὶ τοῦ τίν' οὖν -- περὶ νόμων τὸ τίνων οὖν περὶ νομοθετῶν γράψαι. Ὅτι δ' οὐδὲν δεῖ τῷ λόγῳ τοῦ δευτέρου λεγομένου ὅρου τῆς συγκρίσεως πᾶς τις ὁρᾷ ἐνθυμούμενος μὲν ὡς ῥᾴδιον τὸ ἢ τούτων ἀκούειν, ἐνθυμούμενος δ' ὅτι

καὶ τῆς δευτέρας ἐνταῦθα συγκρίσεως ἄπεστιν οὗτος, εἰκότως· ἔμελλον γὰρ ἄμφω ἐν τῇ Μεγίλλου ἀποκρίσει λέγεσθαι, «οὐ ῥᾴδιον ἀντὶ τούτων ἑτέρας λέγειν»).

685 C.

ΑΘ. - - οἱ περὶ τὸ Ἴλιον οἰκοῦντες τότε πιστεύσαντες τῇ τῶν Ἀσσυρίων δυνάμει τῇ περὶ Νῖνον γενομένῃ, θρασυνόμενοι τὸν πόλεμον ἤγειραν τὸν ἐπὶ τὴν Τροίαν. Ἦν γὰρ ἔτι τὸ τῆς ἀρχῆς ἐκείνης σχῆμα τὸ σῳζόμενον οὐ σμικρόν.

Τὸ ἐνταῦθα ῥηθὲν σχῆμά ἐστι μὲν ἡ λαμπρότης ἢ τὸ μέγεθος, ἔτυχον δ' αὐτὸ τοιοῦτον εἰπόντες τῶν Ἀττικῶν μὲν τραγικοί, Αἰσχύλος τε καὶ Σοφοκλῆς καὶ μάλιστ' Εὐριπίδης, καὶ ὁ Γοργιάζων ῥήτωρ, ἐγγὺς δὲ ποιητῶν τὸν λόγον ὢν Λικύμνιος (ἀπ. 3 Δ), τῶν δ' ἄλλων ὕστεροι Ἀττικισταί, τὸν συγγραφέα ἡμῖν τόνδε ἴσως μιμούμενοι, Ἀριστείδης τε καὶ Θεμίστιος καὶ Ἱμέριος καὶ Λιβάνιος καὶ ἄλλοι.

Πλάτωνα δὲ ἄρα μόνον τῶν νηφόντων καὶ σωφρόνως γραφόντων Ἀττικῶν φήσομεν οὕτω κεχρῆσθαι τῷ ὀνόματι; Ἐγὼ μὲν οὐκ οἶμαι. Ἀλλὰ κατὰ καιρὸν μάλιστ' ἂν εἴη τὸ τοιοῦτον καὶ πρεπῶδες τῇ ἰδίᾳ τοῦ τοὺς Νόμους γράψαντος φύσει, καινὰ μὲν καὶ ἀήθη ὀνόματα ἀεὶ θηρῶντος, ποιητικὰς δὲ δυνάμεις καὶ χρείας τούτων διώκοντος καὶ ἐξευρίσκοντος, οἷ' ἂν μάλιστα πάθοιεν οἱ μετ' Ἀλέξανδρον συγγράφοντες, μᾶλλον φιλαναγνῶσται καὶ μιμητικοὶ καταστάντες.

685 C.

ΑΘ. - - καθάπερ νῦν τὸν μέγαν βασιλέα φοβούμεθα ἡμεῖς, καὶ τότε ἐκείνην τὴν συσταθεῖσαν σύνταξιν (τὴν Ἀσσυρίων) ἐδέδισαν οἱ τότε.

Τὴν σύνταξιν τὴν ἀρχὴν ἢ ἡγεμονίαν δυναμένην τὴν ἐκ πολλῶν συνεστῶσαν μορίων ἐν τάξει τινὶ συνηγμένων μόνον ἐν τοῖς Νόμοις ῥηθεῖσαν ἂν εὕροις ζητῶν, καὶ τῶν ὑστέρων Πλούταρχος εἶπε τὴν συμπολιτείαν λέγων ἐν βίῳ Κλεομένους (3) καὶ Ἀράτου (9), τῶν ἀρχαίων Ἀττικῶν περὶ στρατιᾶς μόνον τοιούτῳ χρησαμένων τῷ ὀνόματι, Ξενοφῶντος μάλιστα (Κύρ. Παιδ. 2, 4, 1. 8, 1, 14 καὶ

Ἑλλ. 5, 2, 38) καὶ Θουκυδίδου (6, 42) καὶ ἔτι καὶ Ἀριστοτέλους (Πολ. 4, 13).

685 Δ.

ΑΘ. - - Πρῶτον μὲν γὰρ τοὺς Ἡρακλείδας τῶν Πελοπιδῶν ἀμείνους ἡγοῦντο ἀρχόντων ἄρχοντας ἔχειν.

Θεῶ μοι τὰ ῥητορικὰ νεανιεύματα, τήν τε παρανομασίαν καὶ τὸ χιαστὸν καλούμενον σχῆμα, ὧν χάριν σκολιωτέρα ἡ τῶν ὀνομάτων τάξις καὶ σύνθεσις κατέστη. Ταῦτα δὲ ἀνάξια Πλάτωνος ἔμοιγε δοκεῖ εἶναι, ὥσπερ καὶ τὰ ὀλίγον μετὰ ταῦτα (Ε) κενὴν ἀντίθεσιν ἀπεργαζόμενα καὶ πρὸς τὴν Ἐπιχάρμειον ἐκείνην (τόκα μὲν-τόκα δὲ) ἀμιλλωμένην «νενικηκέναι γὰρ τούτους, ἡττᾶσθαι δ' ὑπὸ τούτων ἐκείνους».

685 Ε.

(ΑΘ. Ἆρ' οὐχ οὕτως οἰόμεθα κατασκευάζεσθαι τοὺς τότε; ΜΕ. Πάνυ μὲν οὖν. ΑΘ. Οὐκοῦν καὶ τὸ βεβαίως οἴεσθαι ταῦθ' ἕξειν εἰκὸς αὐτοὺς - - ἅτε κεκοινωνηκότας - πολλῶν πόνων καὶ κινδύνων ἀλλήλους.

Ἥ τε χώρα τοῦ αὐτούς, πρὸ τοῦ οἴεσθαι ἢ μετ' αὐτὸ κεῖσθαι δέον, καὶ τὸ περιττὸν καὶ ἀργὸν αὐτοῦ ῥᾷστου νοῆσαι ἀπὸ τοῦ κεκοινωνηκότας ὄντος δηλοῦσι σαφῶς παρεγγεγραμμένον).

686 Β.

ΑΘ. Ταῦτα δὴ τὰ μεγάλα οὕτω προσδοκώμενα, διέπτετο, ὡς ἔοικε, τότε ταχὺ - - ἐπεὶ γενομένη γε ἡ τότε διάνοια καὶ ξυμφωνήσασα εἰς ἓν ἀνυπόστατον ἄν τινα δύναμιν ἔσχε κατὰ πόλεμον.

Τὸ μὲν διάνοια ἔχει δὴ ὥσπερ καὶ ὀλίγον ἔμπροσθεν (685 Ε) «ἆρ' οὐχ οὕτως οἰόμεθα καί τινι διανοίᾳ τοιαύτῃ κατασκευάζεσθαι, τοὺς τότε», σημαῖνον ὃ διενοοῦντο ἔσεσθαι οἱ τότε, (αὐτ. Β) «τὴν κατασκευὴν ταύτην οὐ Πελοποννήσῳ μόνον ἔσεσθαι βοηθὸν ἱκανὴν - - ἀλλὰ καὶ τοῖς Ἕλλησι πᾶσι». Τό γε μὴν ξυμφωνήσασα ἥκιστα τῷ διάνοια προσῆκον φαίνεται, τὸ κατασκευὴ σαφῶς ποθοῦν (αὐτ. Β.

D.), ὅπερ οὔτε κατὰ τὸ σχῆμα ζεῦγμα οἷόν τε ἐνθυμηθῆναι οὔτε ποι ἔγγραπτὸν ἐπανορθώσει δοκεῖ εἶναι, ἀλλὰ τὸ σύνηθες ἡμῶν τοῦ συγγραφέως ἀσαφές τε καὶ ταραχῶδες εὐλογώτατα αἰτιατέον.

686 B.

ΑΘ. Πῶς οὖν καὶ πῇ διώλετο; ἆρ' οὐκ ἄξιον ἐπισκοπεῖν, τηλικοῦτον καὶ τοιοῦτον σύστημα ἥτις ποτὲ τύχη διέφθειρε;

Τὸ σύστημα ἐν τῷδε τῷ λόγῳ τὴν τῶν τριῶν πόλεων συμμαχίαν καὶ οἷον συμπολιτείαν βουλόμενον, Μεσσήνης τε καὶ Ἄργους καὶ Λακεδαίμονος ἐλέχθη μὲν ὑπὸ τοῦ γράψαντος τοὺς Νόμους, καθάπερ καὶ τὸ νῦν δὴ εἰρημένον σύνταξις, ἐλέχθη δὲ καὶ ὑπ' Ἀττικιστῶν ὑστέρων, Πολυβίου τε μάλιστα καὶ Διοδώρου. Τῶν δ' Ἀττικῶν οὐδὲ παρ' ἑνὶ τοιοῦτον τοὔνομα ἡμεῖς γε εὕρομεν σκοπούμενοι. Μετ' Ἀλέξανδρον δὲ δοκεῖ ἡ τοιαύτη τούτου δύναμις εἰς τὸν Ἕλληνα λόγον εἰσελθεῖν καὶ ἐξ ἐκείνου αὐτῷ οὕτως οἱ γράψαντες κεχρῆσθαι.

686 D.

ΑΘ. Ὦ 'γαθέ, καὶ αὐτὸς ἐμαυτοῦ νῦν δὴ κατεγέλασα. Ἀποβλέψας γὰρ πρὸς τοῦτον τὸν στόλον, οὗ πέρι διαλεγόμεθα, ἔδοξέ μοι πάγκαλός τε εἶναι καὶ θαυμαστὸν κτῆμα παραπεσεῖν τοῖς Ἕλλησιν, ὅπερ εἶπον, εἴ τις ἄρα τότε καλῶς ἐχρήσατο.

Ὁ στόλος τοὔνομα δύναται μέν, ὡς πάντες ἴσασι, στρατιὰν ἐπὶ γιγνομένῳ πολέμῳ καὶ οὐ μέλλοντι, οἷον ὁ Περσικὸς στόλος (Πλ. Ν. 692 C), πολὺς στόλος (Ξενο. Ἀναβ. 2, 2, 12), ἐλθὼν παμπληθεῖ στόλῳ, σὺν πολλῷ στόλῳ (αὐτ. 3, 2, 11. Κ. Π. 3, 1, 19), στόλον ἀγείρων (Θουκ. 1, 9), νεῶν στόλον παρασκευάζεσθαι (αὐτ. 1, 31. Πρβλ. Ξεν. Ἑλλ. 3, 4, 1).

Ἐν δὲ τῷ λόγῳ τῷδε οὐδὲν μὲν περὶ πολέμου λέγεται, περὶ δὲ στρατιωτικῆς πολιτείας τῆς τῶν τριῶν Δωρικῶν πόλεων. Οὕτω δὲ τὸ ὄνομα λεχθὲν ἀκυρότερον δηλοῖ καὶ οὐκ ἄρα κατὰ Πλάτωνα ἔχον.

(Μετὰ δὲ τὸ θαυμαστὸν ἡ τοῦ λόγου ἰδέα, τὸ «εἴ τις ἄρα

αὐτῷ τότε καλῶς ἐχρήσατο» ἀναγκάζει δήπου τὸ ἂν αὐτῷ προσθεῖναι, ὧδε ἀναγιγνώσκοντα «θαυμαστὸν ⟨ἂν⟩ κτῆμα παραπεσεῖν». Ὡσαύτως γὰρ δὴ καὶ κατὰ ταὐτὰ ἔχον ἂν ἴδοις καὶ τὸ εὐθὺς μετὰ ταῦτα λεγόμενον (αὐτ. Ε) «εἴπερ ἐπίσταιτο ὁ κεκτημένος αὐτῷ χρῆσθαι τοιούτῳ τε ὄντι καὶ τηλικούτῳ, **θαυμαστ' ἂν** καὶ πολλὰ κατεργασάμενος εὐδαιμονοῖ»).

686 Ε.

ΜΕ. Οὐκοῦν εὖ καὶ ἐχόντως νοῦν σύ τε πάντα εἶπες καὶ ἐπῃνέσαμεν ἡμεῖς;

Ἀεὶ ἀήθεσί τισι καὶ καινοῖς ἐπιχειρεῖν τε καὶ ἅπτεσθαι ὁ τοὺς Νόμους ἡμῖν γράψας ἐθέλει, οἷα πρὸς ἄλλοις πολλοῖς καὶ ἡ συμπλοκὴ ἐχόντως νοῦν οὖσα εὑρίσκεται, ἡ ἀντὶ τῆς εἰθισμένης νοῦν ἐχόντως (παρ' Ἰσοκράτει πολλάκις) λεχθεῖσα. Ὁμοίως δὲ σχηματισθὲν τό τε λόγον ἐχόντως (Ἰσοκρ.) ἐρρήθη καὶ τὸ ποιητῶν ὂν καὶ ὑστέρων νουνεχής.

687 Α.

ΑΘ. Σκόπει δὴ ποῖ βλέπων ὁ τὸν ἔπαινον τοῦτον περὶ ἑκάστου τιθέμενος ὀρθῶς λέγει.

Τὸ τὸν ἔπαινον τίθεσθαι ἀντὶ τοῦ ἔπαινον ποιεῖσθαι ποιηταὶ μᾶλλον ἂν εἴποιεν καὶ τῶν ὑστέρων Ἀττικιστῶν Πολύβιός τε καὶ Πλούταρχος μάλιστα πολλὰ τοιαῦτα τῷ τίθεσθαι χρησάμενοι (Πολ. 1, 11, 7. 5, 4, 7. 8, 10. 7, 9, 1. Πλουτ. Ἀγησ. 27. Τιβ. Γρακ. 5. Νικ. 10), Πλάτων δ', ὡς ἐγὼ οἶδα, οὐδαμοῦ, τὰ τοῦ συγγραφέως τοῦδε ἐσπουδασμένα τε καὶ καινὰ καὶ ποιητικὰ μάλιστα φιλῶν εὐλαβεῖσθαί τε καὶ φεύγειν, εἰ δὲ μή, ἐλεγξάτω μοι πᾶς ἃ λέγω ὡς οὐκ ἀληθῆ, καὶ χάριν πολλὴν ἂν εἰδείην.

687 C.

ΑΘ. Φέρε δή, πάντων ἀνθρώπων ἐστὶ κοινὸν ἐπιθύμημα ἕν τι τὸ νῦν ὑπὸ τοῦ λόγου δηλούμενον, ὡς αὐτός φησιν [ὁ λόγος];

Τὸ ἐπιθύμημα ἡ ἐπιθυμία ὃν ἐλέχθη μὲν καὶ ἀλλαχοῦ που τῶν Νόμων (882 A) «πωμάτων τε ἅμα καὶ βρωμάτων **ἐπιθυμήματα**», ἐγράφη δὲ πολλάκις ἴσα δυνάμενον ὑπὸ Πλουτάρχου καὶ ἐν τοῖς Ἱπποκράτους λεγομένοις λόγοις οὐχ ἅπαξ αὐτῷ ἂν περιτύχοις τοιούτῳ, τῶν δ' ἀρχαίων κεχρημένος ἔστιν ὅτε φαίνεται Ξενοφῶν, ἀλλ' ἑτέρως, ἀντὶ τοῦ ἐπιθυμουμένου πράγματος εἰπών, κυριώτερον (Ἱερ. 1, 23, 4, 7). Τῶν σπανίων ἄρα καὶ καινῶν χρήσεων καὶ ὀνομάτων ὃν ἔμελλεν, ὡς εἰκός, φίλον εἶναι τῷ θαυμασίῳ ἡμῖν τούτῳ λόγων συνθέτῃ. (Τὸ λόγος παρέγγραπτον ἡμῖν δοκεῖ εἶναι).

687 C.

(ΑΘ. Οὐκοῦν ἐπείπερ βουλόμεθα πάντες τὰ τοιαῦτα ἀεὶ παῖδές τε ὄντες καὶ ἄνδρες πρεσβῦται, τοῦτ' αὐτὸ καὶ εὐχοίμεθ' ἂν ἀναγκαίως διὰ τέλους.

Διά τε τὸ ἀεὶ καὶ τὸ διὰ τέλους ἑλοίμην ἂν μᾶλλον τὴν ἑτέραν γραφὴν βίᾳ Σταλλβαύμου καὶ Σάνζου, ἄνδρες καὶ πρεσβῦται. Συνηγορεῖ δέ μου τῷ λόγῳ τό τε ὀλίγον ὕστερον λεχθὲν (D) «φίλος μὲν υἱὸς πατρὶ παῖς ὢν **ἀνδρί**», ἔνθ' οὐ πρεσβύτῃ ἀλλ' ἀνδρὶ λέγεται, καὶ τὸ μετὰ ταῦτα «καὶ ὅταν γε πατὴρ ὢν **γέρων**», ἰδίᾳ ἤδη καὶ χωρὶς περὶ πρεσβύτου λόγου γιγνομένου, καὶ ἔτι μᾶλλον τὸ πολὺ ὄπισθεν (696 A) «οὐ γὰρ μή ποτε γένηται παῖς καὶ **ἀνὴρ** καὶ **γέρων** ἐκ ταύτης τῆς τροφῆς διαφέρων πρὸς ἀρετήν»).

688 A.

ΑΘ. Καὶ δὴ καὶ πολιτικόν γε ἄνδρα νομοθέτην ὡς ἀεὶ δὴ πρὸς τοῦτο βλέποντα τιθέναι τὰς τάξεις τῶν νόμων αὐτός τε ἐμνήσθην καὶ ὑμᾶς ἐπαναμιμνήσκω κατ' ἀρχάς, εἰ μεμνήμεθα, τὰ λεχθέντα.

(Τοῦ Σάνζου παρέγγραπτον τὸ νομοθέτην ἡγουμένου καὶ ἐξαιροῦντος τοῦ λόγου, ἡμεῖς πρὸς τοῦ Ἄστου ἐσμὲν πρὸ τοῦ νομοθέτην ἐμβαλόντος τὸ καί· ξυμμαρτυρεῖ γὰρ τῷ λόγῳ ἡ αὐτὴ ἐν τοῖς ὄπισθεν (693 A) λεγομένη τῶν ὀνομάτων τούτων συμπλοκή, ἔχουσα

τὸ καί, «ταῦτ' ἔχομεν ἐπιτιμᾶν τοῖς τε πάλαι **πολιτικοῖς** λεγομένοις **καὶ νομοθέταις** καὶ τοῖς νῦν»).

Θεώρει δέ μοι τὴν ἄκαιρον τήνδε παρονομασίαν, ἐμνήσθην ἐπαναμιμνήσκω μεμνήμεθα, τὴν οὐδενὸς μὲν ἀναγκάζοντος κατεσκευασμένην, τῇ δὲ περὶ τὰ λεγόμενα σπουδῇ καὶ σεμνότητι ἐμφανῶς διαμαχομένην, ᾗ χάρις μὲν οὐδεμία πρόσκειται, ῥητορικὸν δὲ μειρακιώδη κόσμον τοῦ λόγου ἀπεργάζεται ἀλλότριον τῆς τε τῶν λεγομένων διανοίας καὶ τοῦ Πλάτωνος σπουδάζοντος.

Οὐκ ἂν ἀτιμάσαιμι δὲ οὐδὲ τὴν ὀνομάτων τινῶν ἐν τῷ λόγῳ τάξιν καταγγεῖλαι, ὡς κατὰ Θουκυδίδην μᾶλλον ἢ κατὰ Πλάτωνα ἔχει, ὃ ἂν μιμηταὶ τοῦ λόγου πάθοιεν ἐκείνου, ἥκιστα δ' ὁ ἰδίαν ἔχων λέξιν φιλόσοφος. Ἔστι δ' ὃ λέγω περί τε τὴν τοῦ κατ' ἀρχὰς χώραν, τῷ λεχθέντα μὲν προσήκοντος, κειμένου δὲ ὡς εἰ τοῦ ἐπαναμιμνήσκω εἴχετο, καὶ τὸ ὀλίγον μετὰ ταῦτα ὂν τολμηρὸν ὑπερβατόν, τὸ μὲν σφῷν ἦν παρακέλευσμα ἀντὶ τῆς κατὰ φύσιν ὀνομάτων συμπλοκῆς, τὸ μὲν σφῷν παρακέλευσμα ἦν, τέχνημα λόγου οἰκειότατον τῶν μετ' Ἀλέξανδρον ὄν. Οὐδὲν δὲ τούτου διαφέρει καὶ τὸ ἐπὶ τούτοις λεγόμενον (αὐτ. Β), τὴν τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς ἐν ᾧ τὸ ἡγεμόνα ἐμβληθὲν ἀτόπως τὰ οἰκείως ἔχοντα διέστησεν ὀνόματα.

688 Β.

ΑΘ -- δέοι δὲ δὴ πρὸς πᾶσαν μὲν (ἀρετὴν) βλέπειν (τιθέμενον τοὺς νόμους), μάλιστα δὲ πρὸς πρώτην τὴν τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς· φρόνησις δ' εἴη τοῦτο καὶ νοῦς καὶ δόξα μετ' ἔρωτός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένης.

Πάντες οἱ περὶ Πλάτωνα καὶ ὁπωσδήποτε σπουδάσαντες ἄνδρες ἐπίστανται δήπου ὅτι ὅλῳ καὶ παντὶ κατὰ τοῦτον ἡ δόξα διαφέρει σοφίας τε καὶ ἐπιστήμης ἢ φρονήσεως καὶ νοῦ, τὸ ἐν μέσῳ ἀγνοίας καὶ γνώσεως δηλοῦσα. Κάλλιστα δ' ἂν ἴδοιμεν ὅ,τι τὴν δόξαν ἡγεῖται εἶναι Πλάτων, εἰ τῶν ἐν Πολιτείας βιβλίῳ πέμπτῳ (478 C) σκοπούμενοι διέλθοιμεν τάδε, Σωκράτους τε καὶ Γλαύκωνος διαλεγομένων, «Οὔτε ἄρα ἄγνοια οὔτε γνῶσις δόξα ἂν εἴη. Οὐκ ἔοικεν. Ἆρ' οὖν ἐκτὸς τούτων ἐστὶν ὑπερβαίνουσα ἢ γνῶσιν σαφηνείᾳ ἢ ἄγνοιαν ἀσαφείᾳ; Οὐδέτερα.

Ἀλλ' ἄρα, ἦν δ' ἐγώ, γνώσεως μέν σοι φαίνεται δόξα σκοτωδέστερον, ἀγνοίας δὲ φανότερον; Καὶ πολύ γε, ἔφη. Ἐντὸς δ' ἀμφοῖν κεῖται; Ναί. Μεταξὺ ἄρ' ἂν εἴη τούτων δόξα. Κομιδῇ μὲν οὖν». Οὐ μόνον δὲ δόξα ἕτερόν τι φρονήσεως ἢ ἐπιστήμης Πλάτωνι τυγχάνει ὂν ἀλλὰ καὶ ὀρθὴ ἔτι ἢ ἀληθὴς δόξα ἄλογος ὀρθὴ ἢ ἀληθὴς γνῶσις οὖσα. Ταῦτα δ' ἂν σαφῶς καταμάθοιμεν ἐξ ὧν ἐν Μένωνί που περὶ ὀρθῆς λέγεται δόξης (97,Ε), «αἱ δόξαι αἱ ἀληθεῖς, ὅσον μὲν ἂν χρόνον παραμένωσι, καλὸν τὸ χρῆμα καὶ πάντα ἀγαθὰ ἐργάζονται· πολὺν δὲ χρόνον οὐκ ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύουσιν ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου, ὥστε οὐ πολλοῦ ἄξιαί εἰσιν, ἕως ἄν τις δήσῃ αἰτίας λογισμῷ - -. Ἐπειδὰν δὲ δεθῶσι πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα μόνιμοι· καὶ διὰ ταῦτα δὴ τιμιώτερον ἐπιστήμη ὀρθῆς δόξης ἐστί, καὶ διαφέρει δεσμῷ ἐπιστήμη ὀρθῆς δόξης». Ὅμοια δὲ καὶ παραπλήσι' ἂν ἀκούσαις Σωκράτους καὶ Θεαιτήτου περὶ ὀρθῆς δόξης λεγόντων (Θεαιτ. 201 C), ΣΩ. «Οὐκ ἄν, ὦ φίλε, εἴ γε ταὐτὸν ἦν δόξα τε ἀληθὴς καὶ ἐπιστήμη, ὀρθά ποτ' ἂν δικαστὴς ἄκρος ἐδόξασεν ἄνευ ἐπιστήμης· νῦν δὲ ἔοικεν ἄλλο τι ἑκάτερον εἶναι. ΘΕ. Ὅ γε ἐγώ, ὦ Σώκρατες, εἰπόντος του ἀκούσας ἐπελελήσμην, νῦν δὲ ἐννοῶ· ἔφη δὲ τὴν μετὰ λόγου ἀληθῆ δόξαν ἐπιστήμην εἶναι, τὴν δὲ ἄλογον ἐκτὸς ἐπιστήμης. - - ΣΩ. ἢ καλῶς λέγεις». (τοιαῦτα λέγεται καὶ ἐν 202 C κέ., 209 D, 210 A κέ.).

Ὁ δὲ τοὺς Νόμους γεγραφὼς εἰς ἓν ἄγων καὶ συγχέων φρόνησιν καὶ δόξαν καὶ ὀλίγον πορρωτέρω τοῦ λόγου (689 B) ταὐτὰ ποιῶν ἐπιστήμην τε καὶ δόξαν καὶ λόγον ἐλέγχει ἑαυτὸν πάντ' ἄλλον ὄντα μᾶλλον ἢ Πλάτωνα.

688 B.

ΑΘ. - - Ἥκει δὴ πάλιν ὁ λόγος εἰς ταὐτὸν καὶ ὁ λέγων ἐγὼ νῦν λέγω πάλιν ἅπερ τότε, εἰ μὲν βούλεσθε, ὡς παίζων, εἴθ', ὡς σπουδάζων, ὅτι δή φημι εὐχῇ χρῆσθαι σφαλερὸν εἶναι νοῦν μὴ κεκτημένῳ, ἀλλὰ τἀναντία ταῖς βουλήσεσίν οἱ γίγνεσθαι. Σπουδάζοντα δ' εἴ με τιθέναι βούλεσθε, τίθετε.

Θεασάσθω μοι πᾶς τις τὸ ἐν λόγοις ἄγαν φιλόπαισμον τοῦ συγγραφέως οὕτω πυκνὰ ἐν βραχεῖ καὶ ἀκαίρως συμφορήσαντος τὰ νεα-

νικὰ τοῦ λόγου καλλωπίσματα, οἷα ἡ τοῦ λάβδα παρήχησις ἡ ἐν τῷ πάλιν καὶ τῷ λόγος καὶ τῷ λέγων καὶ λέγω καὶ πάλιν, ὥστε ἀνοικείους συγγραφικὰς πονηρίας ἀναιτίῳ περιάψαι τῷ Πλάτωνι. (Ὅμοια δὲ καὶ ἐν 684 A. B. 685 D. 688 A).

(Τὸ ὁμολογουμένως ἀτόπως ἔχον εἴθ' εἰ δ' ὁ Βοΐκχος ποιήσας πάντας μὲν πείθει περὶ τοῦ ὀρθοῦ, μάτην δ' ἔμοιγε ἐπόνησε. Πᾶν γὰρ τὸ εἴθ' ὡς σπουδάζων παρεγγεγραμμένον δηλοῖ οὐ πάνυ τι εἰς τὸν λόγον εὐδοκίμου παρασημειωσαμένου τινὸς καὶ γράψαντος εἴθ' ἀντὶ εἰ δ', οὐκ ἰδόντος δ' ὅτι ὃ ἐνέβαλε τῷ λόγῳ ὡς ἀπὸν εὐθὺς μετὰ ταῦτα λέγεται «σπουδάζοντα δ' εἴ με τιθέναι βούλεσθε, τίθετε». Οὐκ ἔστι δὲ παίζοντος ἅμα καὶ σπουδάζοντος τὸ εἰπεῖν «ὅτι δὲ φημι εὐχῇ χρῆσθαι σφαλερὸν εἶναι νοῦν μὴ κεκτημένον, ἀλλὰ τἀναντία ταῖς βουλήσεσίν οἱ γίγνεσθαι», ἀλλὰ παίζοντος μόνον. Ἔστι δὲ τὸ παίζειν ἐν τῇ διαφόρῳ συνωνύμων ὀνομάτων χρείᾳ, τῆς τε εὐχῆς καὶ τῆς βουλήσεως, ἅπερ δοκοῦντα ὅμοια καὶ παραπλήσια εἶναι διαφέρει, ὅτι τὸ μὲν εἰς τὸ δοκοῦν εἶναι ὠφέλιμον, τὸ δὲ εἰς τὸ ὠφέλιμον βλέπει. Τοῦτο δ' ἔχει μαθὼν παρὰ Πλάτωνος ὁ γράψας Πλατωνικός τις ὢν καὶ τὰ ἐν Γοργίᾳ (466 B) περὶ διαφορᾶς τοῦ βούλομαι καὶ τοῦ δοκεῖ μοι ἀναγνούς, ὧν τῷ δοκεῖ μοι τὸ εὔχομαι οἴεται ἕπεσθαι. Καὶ Ῥιττῆρος δὲ τοῦτ' εἶδε (σ. 100)).

688 D.

(ΑΘ. Ταῦτ' οὖν ὡς οὕτω γέγονε περὶ τὰ τότε καὶ νῦν, εἴ που ⟨γίγνεται⟩, γίγνεται καὶ εἰς τὸν ἔπειτα χρόνον οὐκ ἄλλως συμβήσεται, ἐὰν βούλησθε, πειράσομαι ἰὼν κατὰ τὸν ἑξῆς λόγον ἀνευρίσκειν τε καὶ ὑμῖν δηλοῦν κατὰ δύναμιν ὡς οὖσι φίλοις.

Τὴν ῥῆσιν ὡς οὖσι φίλοις ἐξαιροῦμεν τοῦ λόγου ἄκαιρα καὶ ἄτοπα λέγουσαν. Ὁ γὰρ πᾶς ἐκ τῶν ἔμπροσθεν λόγος αὐτός, ἄν τις καλῶς ἐπισκοπῆται, εἰς τοῦτο φέρει, εἰς τὸ ἀνευρίσκειν ταῦτα καὶ δηλοῦν κατὰ δύναμιν, οὐχ ἡ Κλεινίου τε καὶ Μεγίλλου φιλία. Ἀμβλέος δέ τινος ἑρμηνευτοῦ κενὴ παραγραφὴ ἔοικεν ἡ ῥῆσις εἶναι).

688 D.

ΚΛ. -- Προθύμως γὰρ τοῖς λεγομένοις ἐπακολουθήσομεν, ἐν οἷς ὅ γε ἐλευθέρως ἐπαινῶν καὶ μὴ μάλιστ' ἐστὶν καταφανής.

ΜΕ. Ἄριστ', ὦ Κλεινία, καὶ ποιῶμεν ἃ λέγεις.

ΚΛ. Ἔσται ταῦτ', ἂν θεὸς ἐθέλῃ. Λέγε μόνον.

Τοῦ Ἀθηναίου ἐπαγγειλαμένου Κλεινίαν τε καὶ Μέγιλλον διδάξειν ὡς τῇ μεγίστῃ ἀμαθίᾳ αἱ τρεῖς τῶν Δωριῶν πόλεις τε καὶ πολιτεῖαι διεφθάρησαν καὶ Κλεινίου προθύμως ἐπακολουθήσειν τοῖς λεγομένοις εἰπόντος, Μεγίλλου δὲ οὕτω ποιεῖν Κλεινίαν καὶ ἑαυτὸν κελεύσαντος, «ἔσται ταῦτα, **ἐὰν θεὸς ἐθέλῃ**», ἔφη ὁ Κλεινίας, ὅ ἐστι προθύμως ἐπακολουθήσομεν τοῖς λεγομένοις, ἐὰν θεὸς ἐθέλῃ.

Ταῦτα δὲ Κλεινίαν εἰπεῖν ὁ συγγραφεὺς ποιήσας σαφῶς γελοῖον ἐποίησεν. Ποῖόν τι γάρ τοι μέγα πέφυκεν ἔργον τὸ τοῖς λόγοις προθύμως ἐπακολουθεῖν ὥστε τῆς θεοῦ δεῖσθαι θελήσεως καὶ συνεργίας; Οὐ γὰρ δήπου μέλλει εἶναι οἷον τὸ Κλεινίαν αὐτοὺς ταῦτα διδάσκειν. Ἡμεῖς δὲ οὐκ ἂν ἐθέλοιμεν δέξασθαι οὕτως ἄτοπα Πλάτωνα εἰπεῖν τε καὶ διαλεγομένοις ἀποδοῦναι.

688 E.

ΑΘ. Φαμὲν δὴ νῦν καθ' ὁδὸν ἰόντες τὴν λοιπὴν τοῦ λόγου τὴν μεγίστην ἀμαθίαν τότε ἐκείνην τὴν δύναμιν ἀπολέσαι.

Σωφρονοῦντος καὶ νήφοντος ἦν δήπου εἰπεῖν τε καὶ γράψαι τὸν λοιπὸν τοῦ λόγου διεξιόντες, ἀκαίρως δὲ βακχεύοντος καὶ διθυραμβικοῦ ἀνδρός, καθ' ὁδὸν ἰόντες τὴν λοιπὴν τοῦ λόγου καὶ ἄλλοθί που τῶν Νόμων (810 E) ὅμοια φθέγγεσθαι καὶ παραπλήσια, τὴν ὁδὸν τῆς νομοθεσίας πορεύεσθαι, ὅπερ οὐδέποτ' ἂν οὐδαμῶς ἐν γήρᾳ γε δὴ Πλάτων ἂν πάθοι.

689 A.

ΑΘ. Ταύτην τὴν διαφωνίαν λύπης τε καὶ ἡδονῆς πρὸς τὴν κατὰ λόγον δόξαν ἀμαθίαν φημὶ εἶναι τὴν ἐσχάτην.

Ὀξύμωρόν τι ἂν εἴη κατὰ Πλάτωνα ἡ κατὰ λόγον δόξα. Δόξαν γὰρ οὖν δὴ ἐκεῖνος τὴν ἄνευ λόγου γνῶσιν λέγει· πῶς ἂν οὖν μετὰ λόγου δόξ' ἂν εἴη τις; Ὅμοιον γάρ ἐστι ὥσπερ ἂν εἰ εἴποι «πρὸς τὴν κατὰ λόγον ἄνευ λόγου γνῶσιν». Δῆλος οὖν δεινὰ καταψευδόμενος Πλάτωνος ὁ ὑποβαλὼν τοὺς Νόμους. Μόνον δὲ τῇ ὀρθῇ ἢ ἀληθεῖ δόξᾳ τὸ μετὰ λόγου ὁ Πλάτων εὑρίσκεται συνάπτων, οἷον ἐν Θεαιτήτῳ (201 C) «ἔφη τὴν **μετὰ λόγου ἀληθῆ δόξαν** ἐπιστήμην εἶναι» καὶ (202 C) «τίθεσαι ταύτῃ, **δόξαν ἀληθῆ μετὰ λόγου** ἐπιστήμην εἶναι;» καὶ (206 C) «λέγεται τὸ **μετὰ δόξης ἀληθοῦς λόγον** προσγενόμενον τὴν τελεωτάτην ἐπιστήμην γεγονέναι»· καὶ (208 A) **λόγον** γε ἔχων **μετὰ ὀρθῆς δόξης**» καὶ ἄλλοθι πολλαχοῦ.

689 B.

(ΑΘ. - - Ὅταν ἐπιστήμαις ἢ δόξαις ἢ λόγῳ ἐναντιῶται, τοῖς φύσει ἀρχικοῖς, ἡ ψυχή, τοῦτο ἄνοιαν προσαγορεύω, πόλεώς τε, ὅταν ἄρχουσι καὶ νόμοις μὴ πείθηται τὸ πλῆθος, ταὐτόν, καὶ δὴ καὶ ἑνὸς ἀνδρός, ὁπόταν καλοὶ ἐν τῇ ψυχῇ λόγοι μηδὲν ποιῶσι πλέον, ἀλλὰ δὴ τούτοις πᾶν τοὐναντίον.

Τὸ ἀπὸ τοῦ καὶ δὴ καὶ ἑνὸς ἀνδρὸς μέχρι τοῦ πᾶν τοὐναντίον, πᾶν τοῦτο ἀποβλητέον ἡμῖν τοῦ λόγου εἶναι δοκεῖ. Ὃ γὰρ βούλεται λέγειν, τοῦτ' εἴρηται ἤδη καὶ δὴ καὶ ὀρθότερον ἐν τῷ ὅταν οὖν ἐπιστήμαις ἢ δόξαις μέχρι τοῦ ψυχή, ἔνθα περὶ τοῦ ἐν ἑνὶ ἀνδρὶ ψυχικοῦ τούτου παθήματος ὁ λόγος καὶ φιλοσοφικώτερον ἅμα εἰρημένος, περὶ τῆς ἐπιστήμῃ καὶ λόγῳ τῆς ψυχῆς ἐναντιώσεως. Τῷ παθήματι δὲ τούτῳ προστίθεται τῷ τὲ συνεζευγμένον τὸ ἐν τῇ πόλει ὅμοιον πάθος, τὸ τῆς ἀπειθείας τοῦ πλήθους τοῖς ἄρχουσι καὶ νόμοις. Ταῦτα δ' οὕτω δὴ ἔχοντα ἑρμηνευτὴς οὐ συνιδὼν καὶ τῷ τὲ ἐκείνῳ ἀκολουθοῦν τὸ καὶ δεῖν ἀντιστοιχεῖν οἰόμενος ὅλον οἰκεῖον παρέγραψε λόγον τῷ καὶ δὴ καὶ συνδήσας, ἐν ᾧ διδασκαλικά τινα καὶ ἄκαιρα λέγεται, οἷον οἱ καλοὶ ἐν τῇ ψυχῇ λόγοι, ὅ ἐστι καλὰ διδάγματα ἢ καλαὶ γνώσεις, ἀλλ' οὐκ ἐπιστήμη ἢ λόγος, περὶ ἃ μάλιστα ὁ νῦν λόγος, καὶ τὸ ἀλλὰ δὴ τούτοις πᾶν τοὐναντίον ἅμα μὲν ἀργὸν

τὴν διάνοιαν ὄν, τελείου τοῦ λόγου μέχρι τοῦ μηδὲν ποιῶσι πλέον ὑπάρχοντος, ἅμα δὲ ἄτοπόν τε καὶ σκολιὸν σχολῇ τῇ Βαδάμου θεραπευόμενον δόξῃ, ᾗ ἂν τὸ ἀλλὰ δὴ ἀλλ' ᾗ μεταγραπτέον εἴη (σ. XXI). Πρῶτον μὲν γὰρ τὸ τούτοις θαυμαστῶς εἰς τὸ πλέον ποιεῖν ἓν ὂν βλέπειν ἀνάγκη, ἀλλ' οὐκ εἰς τὸ καλοὶ λόγοι· ἔπειτα τὸ πᾶν τοὐναντίον ποιῶσι δῆλον ὅτι τὸ μηδὲν ἀνύτωσιν ἂν εἴη ἐναντίον δὴ τῷ πλέον ποιῶσι ὑπάρχον. Δυσχερῶς δ' ἂν ὁ λόγος ἀπὸ ὑποκειμένου τοῦ καλοὶ λόγοι εἰς ὑποκείμενον πᾶν τοὐναντίον μεταβαίνοι, ὡς ἀναγκάζει Βάδαμος ἀλλ' ᾗ ἀντὶ τοῦ ἀλλὰ δὴ γράφων. Οὕτω γὰρ ἰσχυρῶς τὸ οἱ καλοὶ λόγοι προτέτακται ὥστε τοῦ παντὸς κρατεῖν λόγου καὶ ἄρα καὶ τοῦ πᾶν τοὐναντίον. Διὸ καὶ Σάνζος οὐκ ἐδοκίμασε τὴν γνώμην).

Τὸ ἐναντιοῦσθαι τὴν ψυχὴν τῇ φρονήσει ἄνοιαν ἐνταῦθα ὁ συγγραφεὺς προσαγορεύει. Ὀλίγον δ' ἔμπροσθεν (αὐτ. Α) σχεδόν τι ταὐτὰ λέγων τὴν τῆς λύπης καὶ ἡδονῆς διαφωνίαν πρὸς τὴν κατὰ λόγον δόξαν ἢ ἐπιστήμην ἀμαθίαν ἔτυχεν εἰπών. Πάντες δ' οἱ Πλάτωνος γευσάμενοι ἄνδρες ἐπίστανται ὅτι τὸ τῆς ψυχῆς τοῦτο πάθος ἀκολασίαν ἢ ἀκράτειαν ἢ ἀδικίαν ὠνόμασε Πλάτων, ἐναντίον τῇ σωφροσύνῃ ἢ τῇ δικαιοσύνῃ δοκοῦν εἶναι, οἷον τοῦ τετάρτου που τῆς Πολιτείας βιβλίου (443 C) «Τό δέ γε ἀληθὲς τοιοῦτο μέν τι ἦν, ὡς ἔοικεν, ἡ δικαιοσύνη, - - περὶ τὴν ἐντὸς ὡς ἀληθῶς (πρᾶξιν), περὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, μὴ ἐάσαντα τὰ ἀλλότρια πράττειν ἕκαστον ἐν αὑτῷ μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη, ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα εὖ θέμενον καὶ ἄρξαντα αὐτὸν αὑτοῦ καὶ κοσμήσαντα, - - ἕνα γενόμενον ἐκ πολλῶν, σώφρονα καὶ ἡρμοσμένον». Περὶ δὲ ἀδικίας τοιάδ' ἂν ὀλίγον μετὰ ταῦτ' ἀναγνοίης (444 A) «Στάσιν τινὰ - - δεῖ αὐτὴν εἶναι - - καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς, ἵνα ἄρχῃ ἐν αὐτῇ οὐ προσῆκον, ἀλλὰ τοιούτου ὄντος φύσει, οἷον πρέπειν αὐτῷ δουλεύειν τῷ τοῦ ἀρχικοῦ γένους ὄντι». Καὶ μικρὸν πορρωτέρω (αὐτ. Δ) εἶπε «Οὐκοῦν αὖ τὸ δικαιοσύνην ἐμποιεῖν (ἐστι) τὰ ἐν τῇ ψυχῇ κατὰ φύσιν καθιστάναι κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων, τὸ δὲ ἀδικίαν παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου», καὶ ἀλλαχοῦ (442 C) «Σώφρονα (καλοῦμεν) οὐ τῇ φιλίᾳ καὶ ξυμφωνίᾳ τῇ αὐτῶν τούτων, ὅταν τό τε ἄρχον καὶ τὼ ἀρχομένω [τὸ λογιστικὸν] ὁμοδοξῶσι δεῖν ἄρχειν καὶ

μὴ στασιάζωσιν αὐτῷ; Σωφροσύνη γοῦν, ἥ δ' ὅς, οὐκ ἄλλο τί ἐστιν ἢ τοῦτο πόλεώς τε καὶ ἰδιώτου». Εἰπὼν δ' ἐν Πρωταγόρᾳ (357 Ε) ἀμαθίαν τὸ ἡδονῆς ἥττω εἶναι δηλοῖ μὲν τῶν σοφιστῶν ἀποπειρώμενος λέγων, Σωκρατικὰ δ' ἔτι δοξάζων, ἃ ἐν Πολιτείᾳ Πλατωνικῶς ἠλλοιωμένα φαίνεται. Ἴσως δ' εἰς ἐκεῖνα ὁ τῶν Νόμων συγγραφεὺς βλέπων ἔγραψε ταῦτα.

690 C.

ΑΘ. Καίτοι τοῦτό γε, ὦ Πίνδαρε, οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι, κατὰ φύσιν δὲ τὴν τοῦ νόμου ἑκόντων ἀρχὴν ἀλλ' οὐ βίαιον πεφυκυῖαν.

Θεάσαί μοι ὅσον τὸ Γοργιείως παίζειν ἐν λόγῳ ὁ συγγραφεὺς ἐνταῦθ' ἐπιτηδεύει, ἅμα μὲν τήν τε παρονομασίαν ἀηδῶς καὶ ψυχρῶς διώκων, τὴν ἐν τοῖς παρὰ φύσιν, κατὰ φύσιν, πεφυκυῖαν, ἅμα δὲ τὴν ἀντίθεσιν ἐφεξῆς γράφων οὐ παρὰ φύσιν, κατὰ φύσιν δὲ καὶ ἑκόντων, ἀλλ' οὐ βίαιον. Ταῦτα δὲ καταφανῶς ἧττον σεμνὰ καὶ λιτὰ ἢ ὥστε Πλάτωνα εἰπεῖν ποτε.

690 C.

ΑΘ. Θεοφιλῆ δέ γε καὶ εὐτυχῆ τινα λέγοντες ἑβδόμην ἀρχὴν εἰς κλῆρόν τινα προάγομεν καὶ λαχόντα μὲν ἄρχειν δυσκληροῦντα δὲ ἀπιόντα ἄρχεσθαι τὸ δικαιότατον εἶναί φαμεν.

Καὶ τὸ δυσκληρεῖν ἐναντίον ὂν τοῦ λαγχάνειν μόνος, ὡς ἐγὼ οἶδα, ὁ πλεῖστ' ὀνοματοθετεῖν τολμῶν ἡμῖν ἀνὴρ εἶπεν, ὁ τοὺς Νόμους συγγράψας. Οὐ μόνον δὲ Πλάτων ἀγνοῶν αὐτὸ φαίνεται, ἀλλὰ καὶ τῶν ἄλλων Ἀττικῶν οὐδεὶς γράψας ἔτυχεν, οὔτε τοῦτο οὔτε τὰ σύστοιχα αὐτῷ ὀνόματα, τόν τε δύσκληρον καὶ τὴν δυσκληρίαν καὶ τὸ δυσκλήρωμα, οὔτε τὰ ἀντίστοιχα εὐκληρεῖν τε καὶ εὔκληρον καὶ εὐκληρίαν καὶ εὐκλήρωμα ὑπ' ὀλίγῳ ἢ πολλῷ ὑστέρων λεχθέντα.

690 D.

«ΑΘ. Ὁρᾷς δή, φαῖμεν ἄν, ὦ νομοθέτα, πρός τινα παίζοντες τῶν ἐπὶ θέσιν νόμων ἰόντων ῥᾳδίως ὅσα ἐστὶ περὶ ἄρχοντας ἀξιώματα.

Ὅτι μὲν κατακέχρηται ἐν τῷ λόγῳ τῇ ἀποστροφῇ ὁ τῶν Νόμων συγγραφεὺς ἐν ἄλλῃ ἡμῶν περὶ ταῦτα πραγματείᾳ εἴρηται (Ἀθην. 8, 186).

Τὸ δὲ ἀξίωμα θαυμαστῶς πως φαίνεται λεχθὲν καὶ ἀήθως, ἐγγύς που τοῦ ἀξίωσις ἢ τοῦ ἄξιον ἢ δίκαιον ὄν. Εἶπε γὰρ ὁ γράψας ἀξίωμα τοῦ ἄρχειν καὶ ἄρχεσθαι (690 A) καὶ γονέας ἐκγόνων ἄρχειν (ἀξίωμα) ὀρθὸν (αὐτ.) καὶ τρίτον -- νεωτέρους ἄρχεσθαι, ἔνθ' ἄξιον μᾶλλον ἂν ῥηθείη. Τοιοῦτον δέ μοι καὶ παραπλήσιον ζητοῦντι ηὕρηται τοῦτο τῶν μὲν ἀρχαίων παρὰ Σοφοκλεῖ μόνον ἐν Οἰδίποδι ἐπὶ Κολωνῷ ῥηθὲν (1450 καὶ 1459) βούλημα ὑπὸ τοῦ σχολιαστοῦ ἑρμηνευόμενον, τῶν δ' Ἀττικιστῶν παρὰ Πλουτάρχῳ πολλάκις οὕτως αὐτὸ γράψαντι (644 A, 922 A, 986 F, 992 B).

691 A.

(ΑΘ. Οὐκοῦν δῆλον ὡς πρῶτον τοῦτο οἱ τότε βασιλεῖς ἔσχον τὸ πλεονεκτεῖν τῶν τεθέντων νόμων καὶ ὃ λόγῳ τε καὶ ὅρκῳ ἐπῄνεσαν οὐ ξυνεφώνησαν αὐτοῖς, ἀλλ' ἡ διαφωνία, ὡς ἡμεῖς φαμέν, οὖσα ἀμαθία μεγίστη, δοκοῦσα δὲ σοφία, πάντ' ἐκεῖνα διὰ πλημμέλειαν καὶ ἀμουσίαν τὴν πικρὰν διέφθειρεν;

Τὸ πικρὰν ὀβελιστέον ἡμῖν εἶναι δοκεῖ. Οὐ γὰρ οὖν ἀμουσίας γένη ἂν εἴη πολλά, ὥστε διακρῖναι τὴν πικράν, εἶδος ἕτερον ἀηδὲς εἰδῶν ἑτέρων ἧττον ἀηδῶν ἢ ἡδέων).

691 B.

ΑΘ. Εἶεν· τί δὴ τὸν νομοθέτην ἔδει τότε τιθέντα εὐλαβηθῆναι τούτου περὶ τοῦ πάθους τῆς γενέσεως;

Ἄπειρος καὶ ἄγευστος Πλάτωνος τάχ' ἂν οἰηθείη αὐτὸν τὸ σκολιὸν ἐν λόγῳ ὑπερβατὸν τοῦτο γράψαι ἀντὶ τοῦ λείου λόγου περὶ τῆς γενέσεως τοῦ πάθους τούτου ἢ τοῦ ἐθιζομένου ὑπερβατικοῦ περὶ τῆς τοῦ πάθους τούτου γενέσεως. Ἴδοις δ' ἂν καὶ Ἄστον (10, σ. 640 B).

691 C.

ΑΘ. - - οὐκ ἔστ', ὦ φίλοι ἄνδρες, θνητῆς ψυχῆς φύσει, ἥτις ποτὲ δυνήσεται τὴν μεγίστην ἐν ἀνθρώποις ἀρχὴν φέρειν νέα καὶ ἀνυπεύθυνος, ὥστε μὴ τῆς μεγίστης νόσου ἀνοίας πληρωθεῖσα αὐτῆς τὴν διάνοιαν μῖσος ἔχειν πρὸς τῶν ἐγγύτατα φίλων.

Ποιητικὸν τὸ σχῆμα ἡ ἐναλλαγή, τὸ **θνητῆς** ψυχῆς φύσει ἀντὶ τοῦ θνητοῦ (ἀνδρὸς) ψυχῆς φύσει καὶ οἰκειότατον μὲν ἄρα τοῦ τῶν Νόμων συγγραφέως, ἀλλότριον δὲ δὴ Πλάτωνος εἶναι δοκοῦν.

Τὸν δ' ἀνυπεύθυνον πολλάκις ἐν τοῖς Νόμοις λεγόμενον καί που ἐν τοῖς Ὅροις (415 E) οὐδαμοῦ τῶν ὁμολογουμένων Πλατωνείων ἀναγνοίης ἂν λόγων, οὐχ ἅπαξ Ἀριστοφάνει εἰρημένον, ἔτι δὲ Ἀριστοτέλει καὶ Πλουτάρχῳ. Οὐ μὴν ἀλλ' οὐδὲ τὸν ἀνεύθυνον ἔγραψέ που, οὐδ' ἂν περιτύχοις αὐτῷ που μεταθέων.

(Τό τε διάνοιαν καὶ τὸ αὐτῆς ἀνδρὸς ἀμβλὺ ὁρῶντος οὐκ ἀναγκαία παραγραφή τις ὄντα ἐξαιρετέα εἶναι δοκεῖ, τῆς Βαδάμου ἐπανορθώσεως (σ. XXI) αὐτὴν δι' ἄνοιαν οὐ μόνον οὐδὲν πλέον ποιούσης ἀλλὰ καὶ ἄτοπα οὐκ ὀλίγ' ἐνεχούσης, τό τ' ἀηδῶς καὶ μηδαμῶς ἀναγκαίως περὶ τὴν ἄνοιαν τευτάζειν καὶ τὸ πάντῃ ἀχρεῖον δοκοῦν εἶναι αὐτήν, ἔτι δὲ τὴν προθέσεως ἐπένθεσιν καὶ ὅτι διὰ τὸ αὐτὴν ἄρθρου δὴ τὸ ἄνοιαν δεῖται).

692 E.

ΑΘ. Θεὸς εἴη ἂν κηδόμενος ὑμῶν τις ὃς τὰ μέλλοντα προορῶν, δίδυμον ὑμῖν φυτεύσας τὴν τῶν βασιλέων γένεσιν ἐκ μονογενοῦς εἰς τὸ μέτριον μᾶλλον συνέστειλε.

Καὶ ἐνταῦθ' ἡμῖν αὖθις προσπίπτει τὸ ἐνθεαστικὸν καὶ ποιητικὸν ἐν τῷ λόγῳ, ὅπερ πολλάκις πολλαχοῦ ἐν τοῖς ἔμπροσθεν κατείπομεν τοῦ συγγραφέως, καὶ δὴ καὶ τὸ σχῆμα ἡ ἐναλλαγή. Ταῦτα δὲ καὶ τοιαῦτ' ἀναγιγνώσκων ὑπολάβοι ἄν τις καὶ Πρωταγόρου μᾶλλον ἀκολασταίνοντός του ἐν λόγοις ἀκούειν (Πλ. Πρωτ. 320 C κἑ.), μή τί γε

δὴ Πλάτωνος. Ἴδοις δ' ἂν καὶ τὸ ὀλίγον ἔμπροσθεν (692 Α) αὐθάδει ῥώμῃ καὶ ἃ Ζελλῆρος τοῦ ἀτόπου τούτου περὶ λόγον πάθους κατηγορεῖ (Stud. Plat. σ. 91).

692 B.

ΑΘ. - - ἐπεὶ ἐπί γε Τημένῳ καὶ Κρεσφόντῃ καὶ τοῖς τότε νομοθέταις, οἵτινες ἄρα ἦσαν νομοθετοῦντες, οὐδ' ἡ Ἀριστοδήμου μερὶς ἐσώθη ποτ' ἄν.

Ἡ μερὶς τοὔνομα ἀντὶ τοῦ μέρους ἢ τῆς μοίρας ἁπλῶς ἐνταῦθα μόνον καὶ ἐν τῷ Σοφιστῇ ἔτι (266 Α) ἔμοιγε ηὑρέθη ῥηθεῖσα, ἀμφισβητησίμῳ γε δὴ λόγῳ τὴν γένεσιν (Β΄ Ζήτησ. 109), Πλάτωνος μοῖραν ἢ μέρος ἀεὶ φιλοῦντος λέγειν. Καὶ Εὐριπίδης δ' ἔτυχεν εἰπὼν ἐν Ἱκέτισι (238) περὶ πολιτῶν λέγων μοίρας, ἀλλ' οὐχ ἁπλῶς μοίρας, καθάπερ καὶ Δημοσθένης πολλὰ τῷ ὀνόματι χρησάμενος φαίνεται καὶ ἀλλοίαν αὐτοῦ χρείαν πολλὴν ποιησάμενος ποικίλῃ ἀξιώσει καὶ δυνάμει. Ἔγραψε δ' αὐτὸ τῶν μὲν ἀρχαίων καὶ Θεόφραστος ἔτι, τῶν δὲ ὑστέρων Πολύβιός τε καὶ Πλούταρχος καὶ Λουκιανὸς καὶ ἄλλοι. Κατὰ δὴ ταῦτ' ἀπὸ Δημοσθένους ἀρξάμενον μάλιστ' ἄν τις φῇ πολὺ γενέσθαι τοὔνομα ἐν τῷ λόγῳ τῷ καταλογάδην ἀντὶ τοῦ μέρος ἁπλῶς λεγόμενον εἰκότα δήπου ἂν λέγοι.

692 B.

ΑΘ. - - οὐ γὰρ ἱκανῶς ἦσαν νομοθεσίας ἔμπειροι· σχεδὸν γὰρ οὐκ ἄν ποτ' ᾠήθησαν ὅρκοις μετριάσαι ψυχὴν νέαν λαβοῦσαν ἀρχήν, ἐξ ἧς δυνατὸν τυραννίδα γενέσθαι.

Τὸ μετριάζειν τι τὸ μέτριον ποιεῖν τι ὂν μόνον ὁ τοῦ διαλόγου τούτου εἶπε συνθέτης ἐνταῦθά τε καί που ὀλίγα διελθόντι (αὐτ. C) καὶ ἔτι Διονύσιος ὁ Ἁλικαρνασεὺς (Ῥωμ. Ἀρχ. 13, 13) καὶ ἄλλοι ὕστεροι Ἀττικισταί, πάντων τῶν Ἀττικῶν μετριάζειν ἁπλῶς εἰπόντων, ἴσα τῷ μέτριον εἶναι ἢ μετρίως ἔχειν δυνάμενον· καὶ δὴ καὶ Πλάτωνος ἐν Πολιτείᾳ (603 Ε), «Νῦν δέ γε τόδ' ἐπισκεψώμεθα, πότερον οὐδὲν ἀχθέσεται. ἢ τοῦτο μὲν ἀδύνατον, **μετριάσει** δέ πως πρὸς λύπην.

692 C.

ΑΘ. - - εἰ δ' ἦν τις προορῶν τότε ταῦτα καὶ δυνάμενος μετριάσαι τὰς ἀρχὰς καὶ μίαν ἐκ τριῶν ποιῆσαι, τά τε νοηθέντα ἂν καλὰ τότε πάντα ἀπέσωσε καὶ οὐκ ἄν ποτε ὁ Περσικὸς ἐπὶ τὴν Ἑλλάδα οὐδὲ ἄλλος οὐδεὶς στόλος ἂν ὥρμησε καταφρονήσας ὡς ὄντων ἡμῶν βραχέος ἀξίων.

Τὸ ὡς ὄντων ἡμῶν βραχέος ἀξίων πολλὰ νοσοῦν ἥκιστα Πλάτωνα τὸν γράψαντα μηνύει ὄντα, ἢ σύμπαν ἑαυτὸ παρέγγραπτον ὑπάρχον. Μάτην μὲν γὰρ Σταλλβαῦμος παραδείγμασιν οὐκ ἄτοπον οὐδ' ἀήθη τὴν τῶν ὀνομάτων διακόσμησιν δεικνύναι ἀγωνίζεται, ἀντὶ τῆς συνήθους ἡμῶν ὡς ὄντων βραχέος ἀξίων οὖσαν. Πάντα γὰρ ἃ παραφέρει μαρτύρια οὐχ ὑπὲρ τῆσδε τῆς ὀνοματικῆς ἐστι τάξεως, ἀλλ' ὑπὲρ τῆς ὡς βραχέος ἀξίων ἡμῶν. Ἔπειτα τὸ βραχέος ἀξίων ἀηθέστατον δοκεῖ εἶναι ἀντὶ τοῦ σμικροῦ ἢ ὀλίγου ἀξίων ὄν. Οὐδ' ἀτελὴς δ' ἄλλως ἢ ἐνδέων του ὁ λόγος ἂν εἴη παντὶ τῷ τοῦ Ἕλληνος λόγου ἐμπείρῳ ἐν τῷ καταφρονήσας λήγων, ἀλλὰ πυκνότερος ἅμα καὶ χαριέστερος ἐν ὑπονοίᾳ ἔχων τὸ αὐτῆς.

692 D.

ΑΘ. Αἰσχρῶς γοῦν ἠμύναντο αὐτοὺς (τοὺς Πέρσας), ὦ Κλεινία. Τὸ δ' αἰσχρὸν λέγω οὐχ ὡς οὐ νικῶντές γε οἱ τότε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καλὰς νενικήκασι μάχας.

Τῆς ῥητορικῆς μὲν λέξεως καὶ δὴ τῆς πανηγυρικῆς τὸ οὕτω περιττεύειν ἐν ὀνόμασιν, οἷον νικῶντες νενικήκασι, γνώριμον μὲν ἡμῖν τοῦ συγγραφέως τοῦδε ἰδίωμα, ἀλλότριον δὲ τοῦ σώφρονος διαλεκτικοῦ λόγου· ποιητικώτερον δὲ συνέζευκται τὸ καλὰς μάχας ἀντὶ τοῦ καλὰς νίκας κατὰ συχνὸν τοῦ τῶν Νόμων λόγου πάθος μυριάκις ἤδη ἡμῖν κατηγγελμένον.

693 B.

(ΑΘ. - - Μὴ θαυμάσωμεν δὲ εἰ πολλάκις προθέμενοι ἄττα εἰρήκαμεν ὅτι πρὸς ταῦτα δεῖ νομοθετεῖν βλέποντα τὸν

νομοθέτην, τὰ δὲ προτεθέντα οὐ ταὐτὰ ἡμῖν φαίνεται ἑκάστοτε· ἀλλὰ ἀναλογίζεσθαι χρή, ὅταν πρὸς τὸ σωφρονεῖν φῶμεν δεῖν βλέπειν πρὸς φρόνησιν ἢ φιλίαν, ὡς ἔσθ' οὗτος ὁ σκοπὸς οὐχ ἕτερος, ἀλλ' ὁ αὐτός. καὶ ἄλλα δὲ πολλὰ ἡμᾶς τοιαῦτα ἂν γίγνηται ῥήματα, μὴ διαταραττέτω.

Ἐν ἑνὶ μὲν τῶν ἀπογράφων μετὰ τὸ βλέπειν ἐμβέβληται τὸ ἢ ἑρμηνευτοῦ ἢ γραμματικοῦ σαφῶς ὄν, Βάδαμος δὲ ἐλεύθερον ἔγραψεν ἀντὶ τοῦ σωφρονεῖν, ἧττον εὐλαβῶς (σ. XXI), Σάνζος δὲ πᾶν τὸ πρὸς τὸ σωφρονεῖν οὐδὲν ὀκνῶν ἀποτέμνει, ἡμεῖς δὲ θαυμάζοντες ὅπως ποτ' ἂν αὐτὸ παρεγγραφείη, μᾶλλον τὸ πρὸς φρόνησιν σχόλιον εἶναι τοῦ πρὸς τὸ σωφρονεῖν ἡγούμενοι ὀβελίσαι ἂν ἐθέλοιμεν. Τὸ γὰρ σωφρονεῖν οἱόνπερ καὶ τὸ φρονεῖν πολλάκις εἶναι βούλεται· ἐπεὶ καὶ τῶν ὄπισθεν λεγομένων πολλαχοῦ καὶ ἡ σωφροσύνη ἔτι πολιτικὸς εἶναι λέγεται σκοπός, οἷον (696 B) ΑΘ. «οὐ γὰρ δεῖ κατὰ πόλιν γε εἶναι τὰς τιμὰς ὑπερεχούσας, ὅτι τίς ἐστι πλούτῳ διαφέρων, ἐπεὶ οὐδ' ὅτι ταχὺς ἢ καλὸς ἢ ἰσχυρὸς ἄνευ τινὸς ἀρετῆς, οὐδ' ἀρετῆς ἧς ἂν σωφροσύνη ἀπῇ» καὶ «ΑΘ. Δίκασον -- εἴ σοι δέξαιο ἂν σύνοικον ἢ γείτονα εἶναί τινα σφόδρα μὲν ἀνδρεῖον μὴ σώφρονα δέ, ἀλλ' ἀκόλαστον. ΜΕ. Εὐφήμει» καὶ «ΑΘ. Ἀλλὰ μὴν τό γε δίκαιον οὐ φύεται χωρὶς τοῦ σωφρονεῖν. ΜΕ. Πῶς γὰρ ἄν;» Εἰ δ' ἐπισκοποῖο καὶ τὰ ἐχόμενα, καὶ ἄλλ' ἂν εὕροις τοιαῦτα (696 C-697 B)).

Προσθῶμεν δὲ ταῖς μυρίαις ἤδη περὶ τὴν ὀνοματικὴν τάξιν ἐλεγχθείσαις ἀτοπίαις καὶ τὴν ἀφορήτῳ ὑπερβατῷ τοῦ ἡμᾶς μετάστασιν, ἀπὸ τοῦ διαταραττέτω εἰς τὸ ἂν γίγνηται μεθαλαμένου, ὥστε σκολιωτάτην μὲν τὴν τῶν ὀνομάτων πλοκὴν κατασκευάσαι, ἀσαφὲς δὲ μάλα τὸ λεγόμενον ποιῆσαι.

693 C.

(ΚΛ. Πειρασόμεθα ποιεῖν οὕτως ἐπανιόντες τοὺς λόγους· καὶ νῦν δὴ τὸ περὶ φιλίας τε καὶ φρονήσεως καὶ ἐλευθερίας πρὸς ὅ τι βουλόμενος ἔμελλες λέγειν δεῖν στοχάζεσθαι τὸν νομοθέτην, λέγε.

Δῆλον ὅτι δυοῖν θάτερον ἢ τὸ πρὸς ἢ τὸ βουλόμενος περιττόν ἐστιν ἐν τῷ λόγῳ καὶ ἀπόβλητον ἄρα. Καὶ Βάδαμος μὲν (σ. XXI) μᾶλλον τὸ βουλόμενος ὀβελίζειν βούλεται καὶ Σάνζον συμπείθει· ἡμεῖς δέ γε τὸ πρός, τοῦτο ἑρμηνείαν ἐκείνου μᾶλλον εἶναι νομίζοντες, συνηθεστέραν ῥῆσιν σὺν τῷ τί ἢ ὅ,τι πρὸς τέλους δήλωσιν ἐν τῷ ὑστέρῳ λόγῳ συναπεργαζόμενον, ἀρχαϊκῆς εἶναι τῆς τοῦ ὅ,τι βουλόμενον δοκούσης. Οὐ δύναμαι δὲ γνῶναι ὅπως ποθ' ἡ γνώμη Ῥιττήρου (σ. 102) τοῦ δεῖν ἀντὶ τοῦ βουλόμενος ἐξαίρεσις ἀπολύει τῆς ἐκ τοῦ πρὸς ὅ,τι βουλόμενος ἀπορίας καὶ οἷον συντακτικῆς πέδης, τὸ νόημα μόνον. τοῦ λόγου σμικρόν τι μεταλλάττουσα)

693 D.

ΑΘ. Δεῖ δὴ οὖν καὶ ἀναγκαῖον μεταλαβεῖν ἀμφοῖν τούτοιν (μοναρχίας καὶ δημοκρατίας), εἴπερ ἐλευθερία τ' ἔσται καὶ φιλία μετὰ φρονήσεως· ὃ δὴ βούλεται ἡμῖν ὁ λόγος προστάσσειν, λέγων, ὡς οὐκ ἄν ποτε τούτων πόλις ἄμοιρος γενομένη πολιτευθῆναι δύναιτ' ἂν καλῶς.

Τὰ ἐνταῦθά τε καὶ ὀλίγον ἔμπροσθεν (693 B) περὶ ἀναγκαίων ὀρθῆς πολιτείας στοιχείων λεγόμενα, εἰ μὴ ἐναντία παντάπασιν, ἀλλὰ πολύ γε διάφορα φαίνεται ὄντα τῶν ἐν Πολιτείᾳ περὶ τοῦ αὐτοῦ εἰρημένων· ὁ μὲν γὰρ τοὺς Νόμους γεγραφὼς ἐλευθερίαν εἶναί φησι καὶ φιλίαν καὶ φρόνησιν, ὧν δεῖν τῇ μελλούσῃ εὖ πολιτεύσειν πόλει, Πλάτων δὲ πᾶσαν τὴν ἀρετὴν δεῖν ἐνεῖναι τῇ ὀρθῶς ᾠκισμένῃ πόλει, καὶ τελέως ἀγαθὴν ἄρα εἶναι, ὅ ἐστι φρόνιμόν τε καὶ ἀνδρείαν καὶ σώφρονα καὶ δικαίαν. Εἶπε γάρ που ἐν τῇ Πολιτείᾳ (427 E) «Οἶμαι ἡμῖν τὴν πόλιν, εἴπερ ὀρθῶς γε ᾤκισται, τελέως ἀγαθὴν εἶναι. Ἀνάγκη, ἔφη. Δῆλον δὴ ὅτι σοφή τ' ἐστὶ καὶ ἀνδρεία καὶ σώφρων καὶ δικαία». Ἐν δέκα δὲ ἐφεξῆς κεφαλαίοις τοῦ τετάρτου βιβλίου, ἀπὸ τοῦ ἕκτου μέχρι τοῦ ἕκτου καὶ δεκάτου (427 C-444 B), ἀκριβῶς τὰ περὶ τούτων διεξέρχεται λόγον ποιούμενος μακρὸν περὶ τῶν τεττάρων τούτων ὀρθῶς ᾠκισμένης πόλεως ἀρετῶν. Ἐν δὲ τοῖς Νόμοις ἔτι πρὸς τούτοις παρὰ τὸν ὀρθὸν λόγον καὶ τὴν Πλατώνειον διαλεκτικὴν ἔννοιαι ἑτερογενεῖς παρ' ἀλλήλας τάττονται, αἱ μὲν τὸ αἴτιον δηλοῦσαι, αἱ δὲ τὸ αἰτιατόν, ἡ μὲν φρόνησις ἀρετήν, ἡ

δ' ἐλευθερία καὶ ἡ φιλία τὰ ἐκ τῶν ἀρετῶν γιγνόμενα· ὅπου γὰρ φρόνησις καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη, ἐκεῖ καὶ τὰ τούτων ἔκγονα, φιλία τε καὶ ἐλευθερία, διαφανῶς ὑπάρχει.

693 Ε.

ΑΘ. Ἡ μὲν τοίνυν (ἡ τῶν Περσῶν πολιτεία) τὸ μοναρχικόν, ἡ δὲ (ἡ τῶν Ἀθηναίων) τὸ ἐλεύθερον ἀγαπήσασα μειζόνως ἢ ἔδει μόνον, οὐδετέρα τὰ μέτρια κέκτηται τούτων, αἱ δὲ ὑμέτεραι, ἥ τε Λακωνικὴ καὶ Κρητικὴ μᾶλλον (τὰ μέτρια κέκτηνται).

Ἐγγυτάτω τῆς ὀρθῆς πολιτείας ὁ τῶν Νόμων συγγραφεὺς τὴν Λακωνικὴν καὶ Κρητικήν φησιν εἶναι· ἐνταῦθά τε γὰρ τοῦ μετρίου μάλιστα τυχούσας ἄμφω ἐπαινεῖ καὶ ὀλίγον πρότερον τὴν Λακωνικὴν ἰδίᾳ (691 D-692 A) λέγων, ὅτι ἡ βασιλεία αὕτη ἐξ ὧν ἔδει σύμμεικτος γενομένη καὶ μέτρον ἔχουσα, σωθεῖσα αὐτὴ σωτηρίας τοῖς ἄλλοις γέγονεν αἰτία. Λέγει δὲ δὴ τὴν τῇ βασιλείᾳ τῆς τῶν γερόντων καὶ ἐφόρων ἀρχῆς μεῖξιν. Πλάτων δέ γε ἐν Πολιτείᾳ (543 E κέ.) τήν τε Κρητικὴν καὶ τὴν Λακωνικὴν εἰς τὰς κακὰς καὶ ἡμαρτημένας πολιτείας καταλέγει, ὑπὸ τῶν πολλῶν δὲ μόνον ἐπαινουμένας. Ἀναμνησθεὶς γὰρ Σωκράτης τῶν ἔμπροσθεν αὐτῷ εἰρημένων (445 C) «ἓν μὲν εἶδος ἀρετῆς, ἄπειρα δὲ τῆς κακίας, τέτταρα δ' ἐν αὐτοῖς, ὧν καὶ ἄξιον ἐπιμνησθῆναι, - - ὅσοι πολιτειῶν τρόποι εἰσὶν εἴδη ἔχοντες, τοσοῦτοι κινδυνεύουσι καὶ ψυχῆς τρόποι εἶναι, - - πέντε μὲν πολιτειῶν, πέντε δὲ ψυχῆς· - - εἷς μὲν οὗτος, ὃν ἡμεῖς διεληλύθαμεν πολιτείας ἂν εἴη τρόπος, ἐπονομασθείη δ' ἂν καὶ διχῇ· ἐγγενομένου μὲν γὰρ ἀνδρὸς ἑνὸς ἐν τοῖς ἄρχουσι διαφέροντος βασιλεία ἂν κληθείη, πλειόνων δὲ ἀριστοκρατία (449 A). Ἀγαθὴν μὲν τοίνυν τὴν τοιαύτην πόλιν τε καὶ πολιτείαν καὶ ὀρθὴν καλῶ - -, κακὰς δὲ τὰς ἄλλας καὶ ἡμαρτημένας». Ἀναμνησθεὶς οὖν τούτων τὰ ἐχόμενα διεξέρχεται, τὰ περὶ τῶν ἡμαρτημένων πολιτειῶν τοιάδε λέγων (544 C) «Εἰσὶ γὰρ ἃς λέγω, αἵπερ καὶ ὀνόματα ἔχουσιν, ἥ τε ὑπὸ τῶν πολλῶν ἐπαινουμένη, ἡ Κρητική τε καὶ Λακωνικὴ αὕτη· καὶ δευτέρα ἡ δευτέρως ἐπαινουμένη, καλουμένη δ' ὀλιγαρχία - -·

ἥ τε ταύτῃ διάφορος καὶ ἐφεξῆς γιγνομένη δημοκρατία, καὶ ἡ γενναία δὴ τυραννίς».

Καλέσας δὲ τὴν ὀρθὴν πολιτείαν βασιλείαν ἢ ἀριστοκρατίαν καὶ παραβάλλων πρὸς ταύτην τε καὶ τὸν ἀγαθὸν καὶ δίκαιον ἄνδρα τὴν Λακωνικήν τε καὶ Κρητικὴν πολιτείαν, τιμοκρατίαν τινὰ εἶναί φησι, ἔχουσαν πρὸς τὴν ὀρθὴν πολιτείαν, ὥσπερ πρὸς τὸν ἀγαθὸν καὶ δίκαιον ἄνδρα ὁ φιλόνικός τε καὶ φιλότιμος (544 E κἑ.). Περὶ δὲ τῆς πονηρίας ταύτης τε καὶ τοῦ τοιούτου ἀνδρὸς ἐν τῷ τετάρτῳ καὶ πέμπτῳ κεφαλαίῳ τοῦ ὀγδόου τῆς Πολιτείας βιβλίου μακρότερον λόγον πεποίηται.

694 A

ΑΘ. Πέρσαι γὰρ ὅτε μὲν τὸ μέσον μᾶλλον δουλείας τε καὶ ἐλευθερίας ἦγον ἐπὶ Κύρου, πρῶτον μὲν ἐλεύθεροι ἐγένοντο, ἔπειτα δὲ ἄλλων πολλῶν δεσπόται. Ἐλευθερίας ἄρχοντες μεταδιδόντες ἀρχομένοις καὶ ἐπὶ τὸ ἴσον ἄγοντες μᾶλλόν τε φίλοι ἦσαν στρατιῶται στρατηγοῖς καὶ προθύμους ἑαυτοὺς παρείχοντο.

Ἡ ἀπόλυτος ὀνομαστικὴ καλουμένη, πονηρία δή τις τοῦ λόγου ὑπάρχουσα, πυκνοτέρα μὲν ἐν τοῖς Νόμοις εὑρίσκεται, ἀλογωτέρα δὲ καὶ ἀτοπωτέρα δοκεῖ εἶναι ἢ ἐν ἄλλοις ὁμολογουμένοις Πλατωνείοις λόγοις· ἱκανὰ γάρ τοι Ἄστος τοιαῦτα τῆς τούτων λέξεως πάθη συνειλοχὼς τυγχάνει (III, 2, σ. 145, 739 D, 741 B, 953 A).

695 A.

ΑΘ. -- διεφθαρμένην δὲ παιδείαν ὑπὸ τῆς λεγομένης εὐδαιμονίας τὴν Μηδικὴν περιεῖδεν (ὁ Κῦρος) ὑπὸ γυναικῶν τε καὶ εὐνούχων παιδευθέντας αὐτοῦ τοὺς υἱεῖς, ὅθεν ἐγένοντο οἵους ἦν εἰκὸς αὐτοὺς γενέσθαι, τροφῇ ἀνεπιπλήκτῳ τραφέντας.

Τοῦ ἀνεπιπλήκτου δύ' ἄττα ἔχομεν κατηγορεῖν ἕτερον τὸν τοὺς Νόμους γεγραφοτα ἐλεγχοντα, τό τε πρῶτον σὺν τῇ ἀνεπιπληξίᾳ (B) ὀνοματοποιηθῆναι, καθάπερ καὶ ἄλλα πολλά, ἄλλων τε ὑστέρων καὶ Δίωνος Κασσίου κατὰ μίμησιν γραψάντων, καὶ τὸ σχῆμα τὸ

κατ' ἐναλλαγήν, τὸ τῇ τροφῇ ἀντὶ τοῦ τρεφομένου αὐτὸ ἀποδεδόσθαι, ἰδίωμα γνώριμον τοῦ τοῦ διαλόγου τούτου συνθέτου. Τούτῳ δ' ἂν παραπλήσιον προσθεῖμον καὶ τὸ σμικρὸν προϊόντι (αὐτ. C) «διείλετο (τὴν ἀρχὴν) ἑπτὰ μέρη τεμόμενος (Δαρεῖος), ὧν καὶ νῦν ἔτι σμικρὰ ὀνείρατα λέλειπται», οὗ τὸ ὀνείρατα τραγικώτερον ἀντὶ τῶν ἰχνῶν ἢ λειψάνων τυγχάνει εἰρημένον.

695 D.

(ΑΘ.- - Μετὰ δὲ Δαρεῖον ὁ τῇ βασιλικῇ καὶ τρυφώσῃ πάλιν παιδευθεὶς παιδείᾳ Ξέρξης, ὦ Δαρεῖε, εἰπεῖν ἔστι δικαιότατον ἴσως, ὃς τὸ Κύρου κακὸν οὐκ ἔμαθες, ἐθρέψω δὲ Ξέρξην ἐν τοῖς αὐτοῖς ἔθεσιν, ἐν οἷσπερ Κῦρος Καμβύσην, ὁ δὲ ἅτε τῶν αὐτῶν γενόμενος ἔκγονος παραπλήσια ἀπετέλεσε τοῖς Καμβύσου παθήμασι.

Τοῦ λόγου τοῦδε διὰ τὸ ἀνακόλουθον Ἑρμαννὸς μὲν τὸ ἀπὸ τοῦ ὦ Δαρεῖε μέχρι τοῦ Καμβύσην ἐκποδὼν ποιεῖται πᾶν, Σταλλβαῦμος δὲ παρενθέσεσιν ἐνείργνυσι, Βαδάμου δὲ διάλειμμα μετὰ τὸ Ξέρξης τοπάζοντος ἐν τῇ γραφῇ (σ. XXII) καὶ Σάνζου ἐπαινοῦντος, ἡμεῖς ἐμπιπλάναι ἐπιχειροῦμεν ⟨ὅμοια καὶ Καμβύσης ἔπαθεν ὥστε⟩ ἐγγράφοντες).

696 A.

ΑΘ. - - δίκαιον μήν, ὦ Λακεδαιμόνιοι, τοῦτό γε τῇ πόλει ὑμῶν ἀποδιδόναι, ὅτι πενίᾳ καὶ πλούτῳ καὶ ἰδιωτείᾳ διαφέρουσαν οὐδ' ἥντινοῦν τιμὴν καὶ τροφὴν νέμετε, ἅς μὴ τὸ κατ' ἀρχὰς ὑμῖν θεῖον παρὰ θεοῦ διεμαντεύσατό τινος.

Σκοπούμενός τις τὸ διαμαντεύεσθαί τι τοῦτο, ὅ,τι βούλεται λέγειν, σαφῶς μὲν ὁρᾷ οὐδὲν ἄλλο ὂν ἢ τὸ μαντευόμενόν τι ὁρίζειν τε καὶ τάττειν νόμιμον ἢ καθεστώς. Δηλοῖ δὲ τοῦτο οὕτως ἔχον ὀνοματοθέτημα τοῦ συγγραφέως ἡμῖν ὄν, ἄριστ', ὡς ἴσμεν, εἰς τοιαῦτα πεφυκότος. Εὕροις δ' ἂν αὐτὸ μεταθέων λεχθὲν καὶ τοῦ Σισύφου που (387 E, 390 B) τοῦ Ψευδοπλάτωνος ἴσα που τῷ μαντεύεσθαι δυνάμενον καὶ τῷ αὐτοσχεδιάζειν ἢ εἰκάζειν συνεζευγμένον καὶ

ἔτι ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασέως καὶ ὑπὸ Πλουτάρχου, ὡς τὸ εἰκός, μιμουμένων.

696 B.

ΑΘ. - - οὐ γὰρ δὴ δεῖ κατὰ πόλιν γε εἶναι τὰς τιμὰς ὑπερεχούσας, ὅτι τίς ἐστι πλούτῳ διαφέρων, ἐπεὶ οὐδ' ὅτι ταχὺς ἢ καλὸς ἢ ἰσχυρὸς ἄνευ τινὸς ἀρετῆς, οὐδ' ἀρετῆς ἧς ἂν σωφροσύνη ἀπῇ.

Ἐντεῦθεν ὁ λόγος ὁρμῶν ἐπὶ τὴν ζήτησιν, εἰς τίνα δὴ δεῖ βλέποντα τὸν ἀγαθὸν νομοθέτην τὰς τιμάς τε καὶ ἀτιμίας κατὰ πόλιν νέμειν, περαίνει μέχρι τοῦ (697 C) τούτων δὲ ἂν ἐκτός τις βαίνῃ νομοθέτης ἢ πόλις - - οὔθ' ὅσιον οὔτε πολιτικὸν ἂν δρῴη πρᾶγμα. Ἐν τούτοις πολλὰ τὰ διαφέροντ' ἂν ἴδοι τις τῶν περὶ ἀρετῆς τοῦ φιλοσόφου δοξῶν. Τὴν μὲν γὰρ σωφροσύνην ἀναγκαίαν μὲν εἶναι εἰς τὴν ἐν ἀρετῇ τελέωσιν νομίζει, ἀλλ' ἐν προσθήκης μέρει, χωρίζων τῶν ἄλλων ἀρετῶν φαυλοτέραν οὖσαν, ἣν δημώδη ὄπισθέν που (709 E) προσαγορεύων καὶ τοῖς παιδίοις εὐθὺς καὶ τοῖς θηρίοις ξύμφυτον εἶναί φησι. Τὴν δὲ σοφίαν ἢ φρόνησιν οὐ ψιλὴν τοιαύτην εἶναι δοξάζει, ἀλλὰ καὶ τὴν σωφροσύνην ἐνέχειν τὴν κατὰ Πλάτωνα καὶ αὐτῇ συγκεκρᾶσθαι. Λέγει γάρ που ἐνταῦθα (696 C) «οὐδὲ μὴν ὅν γε σοφὸν ἡμεῖς νῦν δὴ προυθέμεθα, τὸν τὰς ἡδονὰς καὶ λύπας κεκτημένον συμφώνους τοῖς ὀρθοῖς λόγοις καὶ ἑπομένας». Τῶν δ' ἔμπροσθέν που (688 B) ἔτυχεν εἰπὼν «φρόνησις δ' εἴη τοῦτο καὶ νοῦς καὶ δόξα **μετ' ἔρωτός τε καὶ ἐπιθυμίας τούτοις ἑπομένης**». Ἡ δ' αὖ ἀμαθία ἐστὶ τῷ συγγραφεῖ ἡμῖν τῷδε οὐχ ἁπλῆ ἀμαθία, ἀλλὰ τῇ ἀκολασίᾳ τις συνοῦσα κακία· καί μοι ἀναγνώτω τις τάδε, ἵνα γνῷ, ἐὰν τἀληθῆ λέγω (689 A) «Τὴν δὲ διαφωνίαν λύπης καὶ ἡδονῆς πρὸς τὴν κατὰ λόγον δόξαν ἀμαθίαν φημὶ εἶναι τὴν ἐσχάτην» καὶ (αὐτ. B) «Ὅταν οὖν **ἐπιστήμαις** ἢ δόξαις ἢ **λόγῳ ἐναντιῶται** - - ἡ ψυχή, τοῦτο **ἄνοιαν** προσαγορεύω». Ὅμοια δ' ἔσκεπται ἡμῖν καὶ ἔμπροσθέν που (689 B).

Ἔπειτα ἐν μὲν Πολιτείᾳ (473 B - 490 D) καὶ τὰ τέτταρα τῆς ἀρετῆς μόρια ἐν μετρίῳ πρὸς ἄλληλα συγκεκραμένα λόγῳ ἀναγκαῖα εἰς ὀρθὴν πολιτείας νομίζεται κατάστασιν καὶ μάλιστα πάντων ἡ

σοφία, ἥπερ καὶ αἱ ἄλλαι ἀρεταὶ ἀνάγκῃ συνέπονται· διὸ δὴ μόνον ἂν οἱ φιλόσοφοι τῶν πόλεων ἄρξωσιν ἢ οἱ βασιλεῖς φιλοσοφήσωσι γνησίως, τελείαν μὲν τὴν πολιτείαν, παῦλαν δὲ κακῶν ταῖς πόλεσι καὶ τῷ ἀνθρωπίνῳ ἔσεσθαι γένει. Ἐν δέ γε τοῖς Νόμοις πρῶτον μὲν καλῶς ᾠκίσθαι λέγονται πόλεις, ὥσπερ ὑπείπομεν (693 Β), αἷς ἂν ἐλευθερία καὶ φιλία καὶ φρόνησις συνῇ, ἔπειτα πάλιν (697 Β) πόλει τῇ μελλούσῃ εὐδαιμονήσειν, τιμητέας εἶναι πρώτας μὲν τὰς περὶ τὴν ψυχὴν ἀρετὰς σὺν τῇ σωφροσύνῃ (!), δεύτερον δὲ τὰς περὶ τὸ σῶμα καὶ τρίτον τὰ περὶ τὴν οὐσίαν ἀγαθά.

Ταῦτα δὲ δὴ οὔτε ἀλλήλοις ὁμολογούμενα ἐλέγχεται οὔτε τοῖς ἐν Πολιτείᾳ περὶ τῶν ὅρων ὀρθῆς πολιτείας λεγομένοις, ἀλλὰ πᾶν τοὐναντίον. Οὐδ' ἔστιν ὅπως ἄν τις οὐ φιλονικῶν, ἀλλὰ φιλαλήθης ἀνὴρ ἐπιχειρήσειε δεῖξαι ὅτι τοῦ αὐτοῦ ἀνδρός εἰσι δόξαι φύσει τῷ χρόνῳ καὶ ταῖς τοῦ βίου ἡλικίαις οὕτω κινηθεῖσαι καὶ τραπεῖσαι.

696 C.

ΑΘ. Ἔτι δὲ καὶ τόδε ἐπισκεψώμεθα τῶν ἐν ταῖς πόλεσι τιμήσεων ἕνεκα, ποῖαί τε ὀρθαὶ καὶ μὴ γίγνονται ἑκάστοτε.

Ἡ ἐνθάδε τε καὶ ἄλλοθί που τῶν Νόμων εἰρημένη τίμησις (728 Ε, 878 Ε) φράζει μὲν δὴ τὸ πολλοῦ ἢ ὀλίγου ποιεῖσθαί τινα πρὸς ἀρχὰς ἢ ἀξιώματα τὰ ἐν τῇ πόλει, ἴδιον δὲ τυγχάνει ὂν κατασκεύασμ' ὀνοματικὸν τοῦ τὸν διάλογον συνθέντος πολλά, ὥσπερ ἔφην, τοιαῦτα τολμῶντος καὶ καινοτομοῦντος. Τοῖς δ' Ἀττικοῖς μάλιστ' εἰρημένον τοὔνομα εὑρίσκεται ἐπὶ ζημίας τε καὶ τιμωρίας ὁρισμοῦ τοῦ ἐν δίκαις, οἷον τὴν τίμησιν ποιεῖσθαι καὶ τἄλλα τὰ τοιαῦτα τοῖς ῥήτορσι μάλιστα συνήθη ὄντα, Ἀντιφῶντί τε (130, 24) καὶ Ἰσοκράτει (20, 6) καὶ Δημοσθένει (1252, 15) καὶ Αἰσχίνῃ (82, 16, Κτησ. 77) καὶ Δεινάρχῳ, περὶ οὗπερ πυκνοτέρῳ ἂν συντύχοις εἰρημένῳ τῷ τιμήματι (Πλατ. Ἀπολ. 39 Β, Λυσ. 6, 23, Ἰσοκρ. 20, 19). Οἱ δὲ ὕστεροι ἀπὸ Ἀριστοτέλους ἀρξάμενοι (Πολιτ. 5, 8) καὶ περὶ οὐσίας πλήθους ὁρισμοῦ τὴν τίμησιν πολλάκις γεγραφότες εὑρίσκονται, Πολύβιός τε (6, 45, 4 κά.) καὶ Διόδωρος (18,18 κά.) καὶ Πλούταρχος (Καισ. 55) καὶ Δίων ὁ Κάσσιος (42, 51 κά.),

ἀνθ' οὗ δὴ τὸ τίμημα οἱ παλαιοὶ ἐκεῖνοι εἶπον (Ξεν. Ἀπομν. 4, 6, 12. Πλατ. Πολ. 550 C, 551 C. Δημ. 27, 7).

697 C.

ΑΘ. Ταῦτα μὲν τοίνυν ἡμῖν ἐπὶ πλέον ἐποίησεν εἰπεῖν ἡ Περσῶν περὶ διάσκεψις τῆς πολιτείας.

Καὶ ἡ διάσκεψις ὄνομα μόνου τοῦ συγγραφέως ἡμῖν τούτου ὂν ἐλέγχεται καὶ τῶν ὑστέρων Ἀττικιστῶν, ἄλλων τε καὶ Πλουτάρχου καὶ Λουκιανοῦ. Εἴποις ἂν ὡς οὐδὲν τοῦτ' ἐστὶ πρὸς ὃ βούλομαι δεικνύναι· καὶ γὰρ τὸ διασκοπεῖν καὶ τὸ διασκοπεῖσθαι πολλάκις εἰπὼν Πλάτων καὶ τὴν διάσκεψιν ἂν εἴη γεγραφώς. Ἀλλ' οὐχ ὁμοίως ἔχει περί τε ῥημάτων καὶ συστοίχων τὸ ποιεῖν δηλούντων ὀνομάτων· ἐπεὶ πλεῖστά γε ῥήματα στερόμενα συστοίχων τοιούτων ὀνομάτων φαίνεται, οἷον παρὰ Πλάτωνι τό τε περισκοπεῖν καὶ τὸ ἀνασκοπεῖν ἀντ' ἐκείνων τὴν σκέψιν καὶ ἐπίσκεψιν πλεῖστ' εἰπόντι καὶ ἐνταῦθ' ἀντὶ τοῦ διάσκεψιν ἂν γράψαντι (Ἰδὲ τὴν Β' Ζήτησίν μου 657 D).

697 C.

(ΑΘ. Ἀνευρίσκομεν δὲ ἐπὶ ἐπὶ ἔτι χείρους αὐτοὺς (τοὺς Πέρσας) γεγονότας.

Κατὰ μὲν Στέφανον ἡ γραφὴ ἂν ἔχοι ἐπὶ * * * ἔτι ἢ ἔτι μόνον, κατὰ δ' Ἄστον ἐπὶ Ξέρξου ἔτι, κατὰ δὲ Σταλλβαῦμον ἐπὶ Καμβύσου καὶ Ξέρξου ἔτι, κατ' Ὀρέλλιον δὲ ἔπειτ' ἔτι καὶ κατ' ἄλλους ἄλλως. Θαυμαστὸν δ' ὅτι Σάνζος ἀπορούμενος ἔτι τὸ Ὀρελλίου ἐπανόρθωμα διαφανῶς ὀρθὸν ὂν ὀκνεῖ παραλαβεῖν. Πάντα γὰρ τὰ εὐθὺς μετὰ ταῦτα περὶ τῶν ἐπὶ τοῦ συγγραφέως Περσικῶν λέγεται πραγμάτων· ἐπεὶ λέγεται (D) «Τούτου δὲ (τοῦ φίλου καὶ τοῦ κοινοῦ) φθαρέντος, οὔθ' ἡ τῶν ἀρχόντων βουλὴ ὑπὲρ ἀρχομένων καὶ τοῦ δήμου **βουλεύεται**, ἀλλ' ἕνεκα τῆς αὐτῶν ἀρχῆς, ἄν τι καὶ σμικρὸν πλέον ἑκάστοτε **ἡγῶνται** ἔσεσθαι σφίσιν, - - ὅταν τε εἰς χρείαν τοῦ μάχεσθαι **ἀφικνῶνται**, οὐδὲν κοινὸν - - **ἀνευρίσκουσιν**». Καὶ πάντα δὲ τὰ ὕστερον ῥήματα κατ' ἐνεστῶτα χρόνον λεγόμενα, ἔκτηνται καὶ ἡγοῦνται καὶ ἀναγκά-

ζονται, τὰ κατὰ τὸν συγγραφέα ἐν Πέρσαις γιγνόμενα σημαίνει. Σαφέστατα δὲ δηλοῖ ὃ ὀλίγον προελθὼν λέγει (698 Α) «ΑΘ. Τὰ μὲν δὴ περί γε Περσῶν, ὡς οὐκ ὀρθῶς **τὰ νῦν διοικεῖται** διὰ τὴν σφόδρα δουλείαν τε καὶ δεσποτείαν, τέλος ἐχέτω»).

697 D.

(Τούτου δὲ (τοῦ ἐν τῇ πόλει φίλου καὶ τοῦ κοινοῦ) φθαρέντος, (ἐν Πέρσαις) οὔθ' ἡ τῶν ἀρχόντων βουλὴ ὑπὲρ ἀρχομένων καὶ τοῦ δήμου βουλεύεται, ἀλλ' ἕνεκα τῆς αὑτῶν ἀρχῆς, ἄν τι καὶ σμικρὸν πλέον ἑκάστοτε ἡγῶνται ἔσεσθαι σφίσιν, ἀναστάτους μὲν πόλεις, ἀνάστατα δὲ ἔθνη φίλια πυρὶ καταφθείραντες ἐχθρῶς τε καὶ ἀνηλεήτως μισοῦντες· ὅταν τε εἰς χρείαν τοῦ μάχεσθαι περὶ αὑτῶν τοὺς δήμους ἀφικνῶνται, οὐδὲν κοινὸν ἐν αὐτοῖς αὖ - - ἀνευρίσκουσιν.

Ἄστος μὲν ἐμβάλλει τῷ λόγῳ μετὰ τὸ πόλεις τὸ ποιοῦσι· καίτοι διὰ ταὐτὰ καὶ μετὰ τὸ φιλία ἐμβαλεῖν ἐχρῆν. Σάνζος δὲ χάσμα τι τοῖς γραφομένοις μετὰ τὸ ἀρχῆς ἐνεῖναι νομίζει. Σταλλβαῦμος δ' οὐδὲν κινεῖ. Ἀλλὰ πῶς ἔχει τὸ οὔθ' ἡ βουλή; τί τὸ ἀνταποδιδόν; Ἐὰν ἐνθυμηθῶμεν ὅτι τὸ πάντα δυνάμενον ἐν Πέρσαις στοιχεῖον καὶ αἴτιον ἄρα τῶν τότε πραγμάτων πάντως ἦν ὁ βασιλεύς, οὐδὲν ὀκνητέον εἶναι ἡγούμεθα μετὰ τὸ βουλεύεται τὸ ⟨**οὔθ' ὁ βασιλεὺς ἄρχει**⟩ προσθεῖναι. Τὸ δ' ὅταν τε εἰς χρείαν τοῦ μάχεσθαι - - περὶ αὑτῶν τοὺς δήμους ἀφικνῶνται, τοῦτο ἀντιστοιχοῦν δῆλα δὴ τῷ ἄν τι καὶ σμικρὸν πλέον ἑκάστοτε ἡγῶνται ἔσεσθαι ἀναγκάζει εἰς μάλιστ' εὔλογον τοῦ ἄν τι τούτου εἰς **ἄν τε** μεταβολήν).

Ἐν δὲ τῷ λόγῳ τῷ ἀπὸ τοῦ ἀναστάτους μὲν πόλεις μέχρι τοῦ μισοῦντες ἐάν τινι ἀρκέσῃ, ὥσπερ Σάνζῳ, πάντ' ἔχειν ὥσπερ ἔχει, μηδὲ τὴν Οὔγου θρασεῖαν δέξηται ἀποτομὴν πάντων τῶν ἀπὸ τοῦ πυρὶ μέχρι τοῦ μισοῦντες, θαυμάσει πάντως τὴν ἀήθη τε καὶ ἄτοπον κατὰ πρόληψιν σύνταξιν, τὴν τοῦ καταφθείρειν τι ἀνάστατον, ὥσπερ τοῦ ἀνίστασθαι μόνον ἐκ τοῦ φθείρειν γιγνομένου, καθάπερ ἐν τῷ Φίλιππος ηὐξήθη μέγας ἐκ τοῦ αὔξεσθαι τὸ μέγας. Καὶ τοῦτο δ' ἥκιστα Πλάτωνος, ὡς γ' ἐμ' αἰσθέσθαι, ὄζει.

697 D.

Ὅταν τε εἰς χρείαν τοῦ μάχεσθαι περὶ αὐτῶν τοὺς δήμους ἀφικνῶνται οὐδὲν κοινὸν ἐν αὐτοῖς αὖ μετὰ προθυμίας τοῦ ἐθέλειν κινδυνεύειν καὶ μάχεσθαι ἀνευρίσκουσιν.

Τὸ μετὰ προθυμίας τοῦ ἐθέλειν κινδυνεύειν ἐμφανῶς μὲν ἀντὶ τοῦ λείου τοῦ μετὰ προθυμίας ἐθέλειν κινδυνεύειν ἐλέχθη. Τὸ δὲ τραχὺ καὶ σκολιὸν τοῦ ἄγαν τολμηροῦ ὑπερβατοῦ τούτου τε καὶ τοῦ ἄρτι εἰρημένου (αὐτ. C) «ἡ Περσῶν περὶ διάσκεψις τῆς πολιτείας» ἀντὶ τοῦ κατὰ φύσιν «ἡ περὶ τῆς Περσῶν πολιτείας διάσκεψις» καὶ τοῦ εὐθὺς μετὰ ταῦτα (698 A) «ἑκάστοτε τὰ λεγόμενα» ἀντὶ τοῦ «τὰ ἑκάστοτε λεγόμενα» οὐ δήπου Πλάτωνα τὸν συνθέντα μηνύει, ἀλλά τινα τῶν πολὺ ὑπὸ Δημοσθενείου ῥητορικῆς παθόντων ὑστέρων. Καὶ λέγω ταῦτ' οὐκ ἀγνοῶν ὅτι οὐδ' ὁ Πλάτων τῶν τοιούτων πάμπαν ἀπέσχετο· ἐπεὶ καὶ τοῦ Πρωταγόρου που (341 E) εἶπεν «εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα» καὶ ἄλλοθι. Ἀλλ' ἡ ἀμετρία καὶ ἡ τούτων κατάχρησις διακρίνει τοῦτον ἐκείνου.

698 A.

ΑΘ. Τὰ μὲν δὴ περί γε Περσῶν, ὡς οὐκ ὀρθῶς τὰ νῦν διοικεῖται διὰ τὴν σφόδρα δουλείαν τε καὶ δεσποτείαν, τέλος ἐχέτω.

Ἐπισκεψάμενος δι' ὅ,τι τὰ Περσῶν κακῶς διοικεῖται, αἴτιον ὂν ηὗρε τὴν σφόδρα δουλείαν τε καὶ δεσποτείαν, κριτοῦ ἱστορικοῦ ἔργον ἔχων, ὁ δὲ τὴν Πολιτείαν γράψας ἔργῳ φιλοσοφῶν, ζητῶν εὑρίσκει, ὅπως ποτὲ ἡ ὀρθὴ πολιτεία, ἡ ἀριστοκρατία φθειρομένη εἰς τὰς ἡμαρτημένας ἢ τὰ νοσήματα μεταβαίνει τῶν πόλεων, τήν τε τιμοκρατίαν ἢ τὴν Λακωνικὴν καὶ Κρητικὴν καὶ τὴν ὀλιγαρχίαν καὶ τὴν δημοκρατίαν καὶ τὴν τυραννίδα (544 A κέ.), πρὸς ἄλλα πεφυκὼς ἀνὴρ ὢν δηλῶν. Τὴν δὲ Λακωνικὴν ἡμαρτῆσθαι λέγοντος ἐκείνου καὶ νό-

σημα πόλεως εἶναι, οὗτος μᾶλλον τὰ μέτρια τοῦ μοναρχικοῦ καὶ ἐλευθέρου κεκτῆσθαι μετὰ τῆς Κρητικῆς φησι ('Ιδὲ τὰ ἔμπροσθεν 693 Ε).

698 Β.

ΑΘ. - - Ἡμῖν γὰρ κατ' ἐκεῖνον τὸν χρόνον, ὅτε ἡ Περσῶν ἐπίθεσις τοῖς Ἕλλησιν, ἴσως δὲ σχεδὸν ἅπασι τοῖς τὴν Εὐρώπην οἰκοῦσιν ἐγένετο, πολιτεία τε ἦν παλαιὰ καὶ ἐκ τιμημάτων ἀρχαί τινες τεττάρων καὶ δεσπότις ἦν αἰδώς, δι' ἣν δουλεύοντες τοῖς τότε νόμοις ζῆν ἠθέλομεν.

Τὴν ἀπὸ τιμημάτων πολιτείαν, ἥνπερ ὁ συγγραφεὺς ἡμῖν οὗτος μάλιστ' ἐπαινεῖ, Πλάτων ἐν τῇ Πολιτείᾳ ὀλιγαρχίαν καλῶν (550 C κέ.) ψέγει νόσημα πόλεως οὖσαν, πολλὰ δ' ἁμαρτήματ' ἐνευρίσκων τοῦτο μέγιστον λέγει, ὡς ἥκιστα φιλίαν ἐν αὐτῇ ἡ πόλις ἔχειν δύναται, διὰ τὸ μὴ μίαν ἀνάγκῃ εἶναι τὴν τοιαύτην πόλιν, ἀλλὰ δύο, τὴν τὴν μὲν πενήτων, τὴν δὲ πλουσίων, οἰκοῦντας ἐν τῷ αὐτῷ, ἀεὶ ἀλλήλους ἐπιβουλεύοντας (551 C).

Τὸ δὲ δεσπότις, ἐνταῦθά τε λεχθὲν καὶ τῶν ἀμφισβητήτων που Τιμαίου καὶ Πολιτικοῦ, ποιητικὸν εἶναι ὄνομα δοκεῖ, Σοφοκλέους καὶ Εὐριπίδου μάλιστα εἰπόντων καὶ Ἀττικιστῶν μιμουμένων. Ἀντὶ δὲ τούτου τὸ δέσποινα, κοινὸν ὂν πάντων ἀπὸ Ὁμήρου ἀρξάμενον, καὶ ἐν ὁμολογουμένοις Πλάτωνος λόγοις γεγραμμένον εὑρίσκεται, Γοργίᾳ τε καὶ Πολιτείᾳ.

698 C.

Σχεδὸν γὰρ δέκα ἔτεσι πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας ἀφίκετο Δᾶτις Περσικὸν στόλον ἄγων, πέμψαντος Δαρείου διαρρήδην ἐπί τε Ἀθηναίους καὶ Ἐρετριᾶς ἐξανδραποδισαμένους ἀγαγεῖν, θάνατον αὐτῷ προειπὼν μὴ πράξοντι ταῦτα.

Τοιοῦτον ἀνακόλουθον, οἷον τὸ πέμψαντος Δαρείου (Δαρεῖος) προειπών, βραχυτάτου γε δὴ λόγου διαγενομένου, τοῦ ἐξανδραποδισαμένους ἀγαγεῖν, οὐδαμοῦ ἂν ζητῶν καὶ ἰχνεύων Πλάτωνος ἂν εὕροις. Ἡ δὲ περὶ τὸν λόγον ἀτοπία καὶ πονηρία αὕτη ἰδία μόνον

τοῦ τοὺς Νόμους γράψαντος οὖσα ἐλέγχεται πρὸς ἀλλοίαις πολλαῖς, ἃς ἄλλοτ' ἀλλαχοῦ καταλέξαντες ἐτύχομεν.

Τὸ δὲ πέμπω τὸ ἀποστέλλω δὴ ἁπλῶς βουλόμενον, ἀπαρεμφάτῳ δὲ συντεταγμένον ἐν τῷ λόγῳ (πέμψαντος ἀγαγεῖν), ἀλλ' οὐ μετοχῇ τῇ τὸ τέλος δηλούσῃ, Ὁμήρου ἐστὶ γραμματικὸν ἰδίωμα (Ὀδ. Δ. 8 κἀ.), τοῦ δὲ ψιλοῦ λόγου ἀλλότριον εἶναι δοκεῖ. Ἄλλο γὰρ δὴ τυγχάνει ὂν τὸ πέμπω ποιεῖν τι τὸ ἴσα δυνάμενον τῷ πέμπω ἐροῦντα ἢ κελεύσοντα ποιεῖν τι, οἷον τὸ ἐν Ξενοφῶντος Ἑλληνικοῖς (3, 1, 7) «δοκοῦντος δ' αὐτοῦ (τοῦ Θίμβρωνος) οὐδὲν ποιεῖν, **πέμπουσιν** οἱ ἔφοροι ἀπολιπόντα Λάρισαν **στρατεύεσθαι** ἐπὶ Καρίαν».

698 D.

Ὁ δὴ λόγος (τὸ σαγηνεῦσαι πᾶσαν τὴν Ἐρετρικήν), εἴτ' ἀληθὴς εἴτε καὶ ὅπῃ ἀφίκετο, τούς τε ἄλλους Ἕλληνας καὶ δὴ καὶ Ἀθηναίους ἐξέπληττε, καὶ πρεσβευσαμένοις αὐτοῖς πανταχόσε βοηθεῖν οὐδεὶς ἤθελε πλήν γε Λακεδαιμονίων.

Πῶς ἂν ἐλελήθει Πλάτωνα ὅτι Πλαταιεῖς Ἀθηναίοις ἐβοήθησαν; Τί παθὼν ἂν καὶ ἐν τούτῳ παριστόρησεν, ὥσπερ καὶ ἐν ἄλλοις πολλοῖς, εἴπερ αὐτὸς ἦν ὁ τοὺς Νόμους γεγραφώς; Οὐ φαῦλον δ' ἔστιν εἰς τὸ πιστὸν ποιῆσαι τοῦτο καὶ ὅπερ ἐχομένως γε δὴ λέγεται (αὐτ. Ε) «οὗτοι δὲ ὑπό τε τοῦ πρὸς Μεσσήνην ὄντος τότε πολέμου καὶ **εἰ δή τι διεκώλυεν ἄλλο αὐτούς, οὐ γὰρ ἴσμεν λεγόμενον** - - ». Πῶς οὐκ ἂν ἔγνω τὸ ὑπὸ Ἡροδότου λεχθὲν ἐκεῖνο διακώλυμα (6, 106), ὅτι «τοῖσι δὲ ἕαδε μὲν βοηθέειν Ἀθηναίοις, ἀδύνατα δέ σφι ἦν τὸ παραυτίκα ποιέειν ταῦτα οὐ βουλομένοισι λύειν τὸν νόμον· ἦν γὰρ ἱσταμένου τοῦ μηνὸς εἰνάτη, **εἰνάτῃ δὲ οὐκ ἐξελεύσασθαι ἔφασαν μὴ οὐ πλήρεος ἐόντος τοῦ κύκλου.** Οὗτοι μέν νυν τὴν πανσέληνον ἔμενον».

698 E.

Μετὰ δὲ τοῦτο (τὸ ἐν Μαραθῶνι ἔργον) παρασκευαί τε μεγάλαι λεγόμεναι καὶ ἀπειλαὶ ἐφοίτων μυρίαι παρὰ βασιλέως.

Τὸ παρασκευαὶ μεγάλαι λεγόμεναι ἐφοίτων τολμηρότερον καὶ ἀηθέστερον ἐλέχθη, τοῖς καινοῖς ἀεὶ τοῦ τοὺς Νόμους συνθέντος ἡδομένου τε καὶ χαίροντος, φεύγοντος δ', ὡς εἰκός, τὴν κοινὴν καὶ συνήθη ῥῆσιν, παρασκευῶν μεγάλων λόγοι ἐφοίτων. Οὐδὲν δ' αὐτὸν ἐπιλύονται μὴ οὐχὶ τόλμαν ἐν τοιούτοις ὀφλισκάνειν λόγου τινὲς πλοκαί, οἷα ἡ μετὰ Κῦρον βασιλεύσαντα, ἢ εἰς ἥλιον καταδύντα, αἵπερ πρὸς χρείαν τακτὴν καὶ ὡρισμένην εἶδος πεπηγὸς καὶ ἔμπεδον λαβοῦσαι ἔχουσι.

699 Α.

(Οἱ δὲ Ἀθηναῖοι πᾶν τοῦτο (τὰς Ξέρξου παρασκευὰς) ᾤοντο ἐπὶ σφᾶς αὐτοὺς παρασκευάζεσθαι διὰ τὸ Μαραθῶνι γενόμενον, καὶ - - ἡγήσαντο οὔτε κατὰ γῆν σφίσιν εἶναι σωτηρίαν οὔτε κατὰ θάλατταν· οὔτε γὰρ βοηθήσειν αὐτοῖς οὐδένα, (μεμνημένοι ὡς, οὐδ' ὅτε τὸ πρότερον ἦλθον - -, σφίσι γε οὐδεὶς τότε ἐβοήθησεν οὐδ' ἐκινδύνευσε ξυμμαχόμενος· ταὐτὸν δὴ προσεδόκων καὶ τότε γενήσεσθαι τό γε κατὰ γῆν), καὶ κατὰ θάλατταν δὴ πᾶσαν ἀπορίαν ἑώρων σωτηρίας.

Παρὰ λόγον μετέβαλε μὲν Βοῖκχος οὐδὲ γὰρ τὸ οὔτε γάρ, Σταλλβαῦμος δ' ἀπεδέξατο· φανερὸν γάρ ἐστι τὸ τοῦ οὔτε ἀνταποδοτικὸν καὶ τὸ πρὸ τοῦ κατὰ θάλατταν. Οὐδὲν δὲ παρενθέσεως δεῖ οὔτε τῆς κατὰ Σταλλβαῦμον πρό τε τοῦ οὔτε γὰρ καὶ μετὰ τὸ οὐδένα, οὔτε τῆς κατὰ τὴν παράδοσιν πρό τε τοῦ μεμνημένοι καὶ μετὰ τὸ κατὰ γῆν. Τὸ γὰρ μεμνημένοι προσήκει δῆλα δὴ τῷ ἐκ τοῦ εἰρημένου ἡγήσαντο ἐν νῷ ὄντι ἡγοῦντο (βοηθήσειν), ὅπερ ἐν τῇ τῶν εἰρημένων κεφαλαιώσει τῇ ἀπὸ τοῦ ταὐτὸν δὴ μέχρι τοῦ κατὰ γῆν ὡς προσεδόκων λέγεται. Πρὸς δὲ τῆς κεφαλαιώσεως τὸ τελευταῖον, τὸ κατὰ γῆν, ἥρμοσται τὸ τοῦ οὔτε βοηθήσειν (ἡγοῦντο) ἀντίστροφον, τὸ καὶ κατὰ θάλατταν δὴ πᾶσαν ἀπορίαν ἑώρων σωτηρίας).

699 C.

(Ταῦτ' οὖν αὐτοῖς πάντα φιλίαν ἀλλήλων ἐνεποίει ὁ φό-

βος ὁ τότε παρὼν ὅ τε [ἐκ τῶν νόμων τῶν] ἔμπροσθεν γεγονώς, ὃν δουλεύοντες τοῖς πρόσθεν νόμοις ἐκέκτηντο.

Ὀρθῶς μὲν δοκεῖ ὁ Βάδαμος τὸ ἐκ τῶν νόμων τῶν ἐξῶσαι τοῦ λόγου παρέγγραπτον (ad Phaidr. σ. XI). Ἕτερον δ' αὐτοῦ λείπεται νοσοῦν καὶ θεραπείας δεόμενον, τὸ τοῖς πρόσθεν νόμοις. Μετατίθεμεν δὴ ὧδε δι' ἀνάγκην ἐν τῷ διανοήματι οὖσαν, ὃν δουλεύοντες **πρόσθεν τοῖς νόμοις** ἐκέκτηντο· οὐ γὰρ οὖν δὴ νόμοι πρότεροι ὑστέρων διακρίνονται, ἀλλ' ὁ πρόσθεν φόβος, ὁ τῶν νόμων, τοῦ παρόντος, τοῦ τῶν Μήδων ἐπιόντων).

699 C.

(- - ὁ φόβος ὁ τότε παρὼν ὅ τε [ἐκ τῶν νόμων τῶν] ἔμπροσθεν γεγονώς, ὃν δουλεύοντες πρόσθεν τοῖς νόμοις ἐκέκτηντο, ἣν αἰδῶ πολλάκις ἐν τοῖς ἄνω λόγοις εἴπομεν, ᾗ καὶ δουλεύειν ἔφαμεν δεῖν τοὺς μέλλοντας ἀγαθοὺς ἔσεσθαι, ᾗ ὁ δειλὸς ἐλεύθερος καὶ ἄφοβος· ὃν εἰ τότε μὴ δέος ἔλαβεν οὐκ ἄν ποτε ξυνελθὼν ἠμύνατο.

Ἐπισκεψάμενοι τοὺς λεγομένους ἐνταῦθα ἄνω λόγους ἅπαξ ἡμεῖς αἰδῶ τὸν φόβον εἰρημένον ηὕρομεν καὶ οὐ πολλάκις «καὶ δεσπότις ἐνῆν τις αἰδώς, δι' ἣν δουλεύοντες τοῖς τότε νόμοις ζῆν ἠθέλομεν (698 B)». Διὸ ἀνάγκη πολλὴ ἢ ἀποβαλεῖν τοῦ λόγου τὸ πολλάκις ἢ συγγραφικὴν πονηρίαν τοῦ γράψαντος κατηγορῆσαι, ὅτι ἥκιστ' αὐτὸς ἑαυτῷ ἀκολουθεῖ ἐν τοῖς λόγοις, ὃ αὐτοῦ καὶ Σουσεμῦλος, ὥσπερ λέγομεν, ἔτυχεν ἐλέγξας (683 E). Τῶν δὲ πολλῶν ἐπανορθώσεων τῆς ῥήσεως ᾗ ὁ δειλὸς ἐλεύθερος καὶ ἄφοβος, ἃς ἂν παρὰ Σάνζῳ καὶ Ῥιττήρῳ ὁρῴης, οὐκ ὀλίγων γενομένων διὰ τὴν πλημμελῆ τῆς κοινῆς ἐκδόσεως γραφὴν ἧς ἀντὶ τῆς Σάνζου ὀρθῆς ἀναγνώσεως ᾗ, ἀξία μνείας εἶναι δοκεῖ ἡ τοῦ Ἑρμαννοῦ, ᾗ ἀντὶ τοῦ δειλὸς γράφεται δῆμος, ἣν ὁ Σάνζος καὶ μετὰ τὴν ὀρθὴν ἀνάγνωσιν οὐδὲν δέον ἐδέξατο. Τοῦ γὰρ ᾗ δοτικῆς τοῦ κατά τι τῷ δειλὸς προσηκούσης, χαριέντως μὲν τοῦτο ἀντιτέτακται τῷ ἄφοβος, ἐπαναλαμβάνει δὲ κατὰ τὸν ταυτάζειν εἰωθότα συγγραφέα τόνδε τὴν τοῦ ᾗ δουλεύειν διάνοιαν, ἐναντίως τούτῳ τοῦ ἐλεύθερος

κομψῶς λεγομένου. Οὐδὲν δ' ἄλογον οὐδ' ἄτοπον ἔχει τὸ μετὰ ταῦτα ὄν, τὸν τῇ αἰδοῖ δειλὸν λέγον, ὅ ἐστι τὸν τῇ αἰδοῖ δουλεύοντα, τοὺς τότε 'Αθηναίους δῆλον ὅτι. Δέος δὲ τὸ ἐνταῦθα λεγόμενόν ἐστι δήπουθεν τὸ Μηδικόν).

Θεασάσθω δέ μοι πᾶς ὅσον ἄλλως τὸ ἥκιστα Πλατώνειον ἄχαρι καὶ ἀηδές ἐστιν ἐν τούτῳ τῷ λόγῳ τὸ ἐκ τῆς μονοειδοῦς συντάξεως, πρὸς ὃ δυσαισθήτως ἔχων ὁ γράψας πεντάκις ἐφεξῆς ἀναφορικῶς συνέδεσε τὸν λόγον «ὧν δουλεύοντες τοῖς πρόσθεν νόμοις ἐκέκτηντο» καὶ «ἣν αἰδῶ πολλάκις ἐν τοῖς ἄνω λόγοις εἴπομεν» καὶ «ᾗ καὶ δουλεύειν ἔφαμεν δεῖν τοὺς - - ἀγαθούς» καὶ «ᾗ ὁ δῆμος ἐλεύθερος καὶ ἄφοβος» καὶ «ὃν εἰ τότε μὴ δέος ἔλαβεν».

699 D.

(Οὐ γὰρ μύθων ἕνεκα διεξέρχομαι, οὗ λέγω δ' ἕνεκα· ὁρᾶτε γάρ· ἐπειδή τινα τρόπον ταὐτὸν ξυνεβεβήκει πάθος ὅπερ Πέρσαις - -, πῶς δὴ καὶ τί λέγωμεν τοὐντεῦθεν;

Σάνζος μὲν ἔγραψε «οὗ λέγω δ' ἕνεκα, ὁρᾶτε· ⟨οὐ⟩ γάρ; γνώμῃ Βαδάμου ἐμβαλὼν τὸ οὔ. Ὡς δ' Οὔγῳ δοκεῖ, τὸ τί ἐγγραπτέον ὧδε, τί γάρ; Ἡμᾶς δὲ τὸν νοῦν προσέχοντας τῇ τῶν ὀνομάτων τάξει αὐτὸς ὁ γράψας εἰς ὀρθὴν τοῦ λόγου ἄγει διαίρεσιν, τὴν τῆς κοινῆς ἐκδόσεως καὶ τοῦ Σταλλβαύμου. Τί γὰρ καὶ βουλόμενος ὁ συγγραφεὺς οὗ λέγω δ' ἕνεκα εἶπεν, ἀλλ' οὗ δ' ἕνεκα λέγω; Παντὶ δήπου δῆλον ὅτι ἀντιτάξαι τὸ λέγω τῷ μύθων, ἀμφότερα δὲ τῷ διεξέρχομαι ὑποτάξαι. Ὥστε οὔτε τῆς τοῦ οὔ ἢ τί παρεμβολῆς οὐδὲν δεῖ, οὔτε τῆς ἀτόπως ἐχούσης ἐρωτήσεως, μάτην ἀπόκρισιν ποθούσης).

699 E.

('Επειδή τινα τρόπον ταὐτὸν ἡμῖν συνεβεβήκει πάθος ὅπερ Πέρσαις, ἐκείνοις μὲν ἐπὶ πᾶσαν δουλείαν ἄγουσι τὸν δῆμον, ἡμῖν δ' αὖ τοὐναντίον ἐπὶ πᾶσαν ἐλευθερίαν προτρέπουσι τὰ πλήθη, πῶς δὴ καὶ τί λέγωμεν τοὐντεῦθεν; οἱ προγεγονότες ἡμῖν ἔμπροσθεν λόγοι τρόπον τινὰ καλῶς εἰσιν εἰρημένοι.

Νοσεῖν ταῦθ' ὑπολαμβάνοντες πολλοὶ πολλαχῇ ἰᾶσθαι πειρῶνται. Καὶ Σνειδῆρος μὲν τοὐντεῦθεν, οἱ τυγχάνει γεγραφώς, πᾶν δὲ τὸ πῶς δὴ καὶ τί λέγωμεν τοὐντεῦθεν Ἄστος ὀβελίζει, ὅλον δὲ τὸ ἀπὸ τοῦ οἱ προγεγονότες μέχρι τοῦ εἰρημένοι Βαγνῆρος, οἱ δὴ δὲ ἔγραψε Σταλλβαῦμος. Ἡμεῖς δὲ εἰς τὸ ὑπὸ Σάνζου πρὸ τοῦ οἱ προγεγονότες σημειωθὲν λόγου διάλειμμα ἐμβλητέον εἶναι ἡγούμεθα τὸ ἐμοὶ μὲν δοκεῖν ἤ τι τοιοῦτον, πρὸς ὅ καλῶς ἔχειν δοκεῖ ἤ λέγεις εὖ ἀπόκρισις).

700 Α.

ΜΕ. Πειρῶ δ' ἔτι σαφέστερον ἡμῖν σημῆναι τὸ νῦν λεγόμενον.

Ὁ τῶν ὄντως Πλατωνείων διαλόγων κεκοινωνηκὼς καὶ ἔμπειρος ἀνὴρ οὐκ ἀλόγως ἂν θαυμάσειεν ὅσον ἀτέχνως καὶ παρὰ τὸ εἰκὸς ὁ διάλογος ἐνταῦθα διατίθεταί τε καὶ κατασκευάζεται, οὐδὲν σχεδὸν λέγοντος Μεγίλλου ἀλλ' ἢ «λέγ' ἔτι, εἴ τι ἄλλο περὶ τούτων εἰπεῖν ἔχεις», ἵνα δὴ διάλογος ὁ λόγος γένηται.

700 Α.

Οὐκ ἦν, ὦ φίλοι, ἡμῖν ἐπὶ τῶν παλαιῶν νόμων ὁ δῆμός τινων κύριος, ἀλλὰ τρόπον τινὰ ἑκὼν ἐδούλευε τοῖς νόμοις.

Τὸ ἀκόμψως τε καὶ ἀηδῶς περὶ τὸ τρόπον τινὰ τευτάζειν οὐ πάνυ Πλατωνείως τρὶς αὐτ' ἐν βραχεῖ λόγου εἰπόντα «ἐπειδή **τινα τρόπον** ταὐτὸν ἡμῖν ξυνεβεβήκει πάθος» (699 Ε) καὶ «οἱ προγεγονότες ἡμῖν ἔμπροσθεν λόγοι **τρόπον τινὰ** καλῶς εἴσιν εἰρημένοι» (700 Α), καὶ «**τρόπον τινὰ** ἑκὼν ἐδούλευε» ὑπόνοιάν μοι ἔτι παρέσχε καὶ ἄλλων ἀλλαχοῦ τοῦ βιβλίου τούτου ἐπιμνησθέντι τοιούτων καταχεχρῆσθαι τὸν γράψαντα τῇ τοῦ τίς σὺν ὀνόματι πλοκῇ, καὶ ἐπὶ ἀπογραφήν τινα τῆς χρείας ταύτης ἐποίησε τραπέσθαι πρὸς ἀναμφισβητήτους διαλόγους τὴν παράθεσιν ποιούμενον. Ἐλθὼν δ' ἐπὶ παραβολικὴν τοῦ πράγματος ζήτησιν καὶ λογισμῷ σκοπούμενος ἐν μὲν τῷ βιβλίῳ τούτῳ ἅπαξ καὶ ἑξηκοντάκις εἰρημένον οὕτως εὗρον τὸ τίς, ἐν ἰσομήκεσι δὲ σχεδὸν χώραις τοῦ τε

ὀγδόου (543 κέ.) καὶ τοῦ δεκάτου (598 κέ.) τῆς Πολιτείας βιβλίου σχεδὸν τριακοντάκις, τοῦ δὲ Γοργίου τε (477 κέ.) καὶ τοῦ Θεαιτήτου (142 κέ.) εἰκοσάκις ἢ ὀλίγον τι πλέον. Ὦ δὴ καὶ πολλοῦ δέοντες οἱ Νόμοι ὁμοίως ἔχειν τούτοις ὀλίγον ἀλλήλων διαφέρουσιν ἕτερον ἐμφανῶς τὸν γονέα πᾶσιν ἀποφαίνουσιν.

700 Α.

(ΑΘ. Οὐκ ἦν, ὦ φίλε, ἡμῖν ἐπὶ τῶν παλαιῶν νόμων ὁ δῆμός τινων κύριος, ἀλλὰ τρόπον τινὰ ἑκὼν ἐδούλευε τοῖς νόμοις.

ΜΕ. Ποίοις δὴ λέγεις;

ΑΘ. Τοῖς περὶ τὴν μουσικὴν πρῶτον τὴν τότε.

Ἵνα ἔχῃ λόγον ἡ τοῦ Μεγίλλου ἐρώτησις ποίοις δὴ λέγεις; ἐχρῆν δήπου γεγράφθαι ἑκὼν ἐδούλευέ τισι νόμοις, κενῆς ὑπαρχούσης τῆς χώρας τοῦ τοῖς καὶ κατ' εἰκασίαν ἐμπλησθείσης. Εἰ γὰρ τὸ κατ' ἀρχὰς τοῖς νόμοις ἐγέγραπτο, δῆλον ὅτι περὶ πάντων ἂν τῶν παλαιῶν νόμων ὁ λόγος ἐγίγνετο, καὶ παρὰ πάντ' ἄρα λόγον καὶ ἄτοπος ἦν ἡ Μεγίλλου ἀπορία καὶ ἐρώτησις).

700 Α.

Τοῖς περὶ τὴν μουσικὴν πρῶτον τὴν τότε (νόμοις ἐδούλευεν ὁ δῆμος), ἵνα ἐξ ἀρχῆς διέλθωμεν τὴν τοῦ ἐλευθέρου λίαν ἐπίδοσιν βίου.

Τῆς εἰς ἀκόλαστον δημοκρατίαν μεταβάσεως τοῦ τῶν Ἀθηναίων δήμου ὁ συγγραφεὺς οὗτος μάλιστα πάντων τὴν ἐν μουσικῇ καινοτομίαν αἰτιᾶται, προὔργου ποιησάμενος καὶ ἀφορμὴν λαβὼν ὅπερ ἐν παρέργῳ που τῆς Πολιτείας Πλάτων ἔτυχεν εἰπὼν (424 C κέ.) «οὐ γὰρ κινοῦνται μουσικῆς τρόποι ἄνευ πολιτικῶν νόμων τῶν μεγίστων, ὥς φησι Δάμων καὶ ἐγὼ πείθομαι» καὶ εὐθὺς μετὰ ταῦτα (αὐτ. D) «ἡ γοῦν παρανομία κατὰ μικρὸν εἰσοικισαμένη ἠρέμα ὑπορρεῖ πρὸς τὰ ἤθη τε καὶ τὰ ἐπιτηδεύματα· ἐκ δὲ τούτων εἰς τὰ πρὸς ἀλλήλους ξυμβόλαια μείζων ἐκβαίνει, ἐκ δὲ δὴ τῶν ξυμβολαίων ἔρχεται ἐπὶ τοὺς νόμους

καὶ πολιτείας σὺν πολλῇ ἀσελγείᾳ, ἕως ἂν τελευτῶσα πάντα ἰδίᾳ καὶ δημοσίᾳ ἀνατρέψῃ (1). Πλάτων δὲ τὴν ἐκ τιμημάτων πολιτείαν, οἵα ἦν ἡ παλαιὰ τῶν Ἀθηναίων, ὀλιγαρχίαν καλῶν (Πολ. 500 C), τὴν ἐκ ταύτης εἰς δημοκρατίαν μετάβασιν ἄλλως καὶ δι' ἄλλο φησὶ γίγνεσθαι καὶ οὐ διὰ μουσικὰς καινοτομίας ὧδέ πως ἐν Πολιτείᾳ λέγων (555 B)· «Οὐκοῦν μεταβάλλει μὲν τρόπον τινὰ τοιόνδε ἐξ ὀλιγαρχίας εἰς δημοκρατίαν, **δι' ἀπληστίαν τοῦ προκειμένου ἀγαθοῦ, τοῦ ὡς πλουσιωτάτου δεῖν γενέσθαι;** Πῶς δή; ἅτε, οἶμαι, ἄρχοντες ἐν αὐτῇ οἱ ἄρχοντες διὰ τὸ πολλὰ κεκτῆσθαι οὐκ ἐθέλουσιν εἴργειν νόμῳ τῶν νέων ὅσοι ἂν ἀκόλαστοι γίγνωνται μὴ ἀναλίσκειν τὰ αὐτῶν, ἵνα ὠνούμενοι τὰ τῶν τοιούτων καὶ εἰσδανείζοντες ἔτι πλουσιώτεροι καὶ ἐντιμότεροι γίγνωνται». Ταῦτα δὲ ποιοῦντες καὶ ἀμελοῦντες τῆς τῶν νεωτέρων σωφροσύνης, πολλοὺς μὲν πένητας καὶ ἀτίμους παρασκευάζουσι, πολλοὺς δὲ τοὺς μισοῦντας καὶ τοῖς πλουσίοις τε καὶ ἄρχουσιν ἐπιβουλεύοντας, ἑαυτοὺς δὲ καὶ τοὺς παῖδας τρυφῶντας καὶ ἀπόνους πρός τε τὰ τοῦ σώματος καὶ τῆς ψυχῆς. Πρὸς δὴ τούτους τοιούτους ὄντας στασιάζουσιν ἰσχυρότεροι ἤδη γενόμενοι οἱ πένητες καὶ κρατήσαντες καὶ ἐκβαλόντες τοὺς πλουσίους ἄρχοντας, ἄρχουσιν ἤδη αὐτοί. Δημοκρατία δὲ γίγνεται καὶ διὰ φόβον, ὑπεξελθόντων τῶν ἑτέρων.

700 C.

Τὸ δὲ κῦρος τούτων (τῶν τῆς μουσικῆς εἰδῶν) γνῶναί τε καὶ ἅμα γνόντα δικάσαι ζημιοῦν τε αὖ τὸν μὴ πειθόμενον οὐ σύριγξ ἦν οὐδέ τινες ἄμουσοι βοαὶ πλήθους, καθάπερ τὰ νῦν.

Καὶ τὸ σύριγξ ἀντὶ τοῦ συριγμοῦ ἢ συρίγματος μόνος ὁ συγγραφεὺς ὅδε ἔμελλεν ἐρεῖν ὁ πλεῖστα τοιαῦτα νεανικὰ φθέγγεσθαι τολμήσας καὶ τραγικῶν πολλάκις ἐν τοιαύτῃ περιγιγνόμενος ἁμίλλῃ.

Οὐ πολὺ δέ τι τῇ τόλμῃ λειπόμενον φαίνεται καὶ ὃ ἔγραψεν εὐθὺς μετὰ τοῦτο (αὐτ. D) **ἄρχοντες** μὲν τῆς ἀμούσου παρανομίας ποιηταὶ **ἐγένοντο**, ἀντὶ τοῦ ἦρξαν τὸ ἄρχοντες ἐγένοντο

(1) Πρβλ. καὶ Zeller Stud. Plat. 103.

εἰπών, οὐδενὸς μὲν ἀτόπου τῇ περιφράσει ἄλλως προσόντος, τοῦ δ' ἄρχοντος τῷ τῆς χρείας ἐν λόγοις συχνῷ ὀνόματος δύναμιν λαβόντος, καὶ εἰς ἄλλην δὴ διάνοιαν καὶ βούλησιν τὸν ἀκούοντα ἄγοντος.

700 D.

Μετὰ δὲ ταῦτα - - ἄρχοντες μὲν τῆς ἀμούσου παρανομίας ποιηταὶ ἐγίγνοντο - -, αὐλῳδίας δὴ ταῖς κιθαρῳδίαις μιμούμενοι.

Οὐκ ἀνάξιον πρὸς ὃ βούλομαι εἶναί μοι δοκεῖ καὶ τὴν αὐλῳδίαν τῷ ἀπεράντῳ προσθεῖναι ἑσμῷ τῶν ὀνομάτων, ἅ γε δὴ τῷ τὸν λόγον τόνδε γεγραφότι μόνῳ καὶ ὑστέροις Ἀττικισταῖς τυγχάνει εἰρημένα· ἔγραψε γὰρ ἔτι τοῦτο καὶ Πλούταρχος. Τὸν δ' αὐλῳδόν τε καὶ αὐλῳδικόν, ἀγνοούμενα τοῖς Ἀττικοῖς ὀνόματα, ὡς ἀπὸ τοῦ σῳζομένου αὐτῶν λόγου εἰκάσαι, ἐν ἐπιγραφαῖς μόνον Βοιωτικαῖς μεταδιώκων ἂν λάβοις καὶ τῶν Ἀττικιζόντων παρ' Ἀθηναίῳ καὶ Πλουτάρχῳ καὶ ἄλλοις. Καὶ ἡ θεατροκρατία δὲ ἡ ἐν τοῖς κάτω που λόγοις (701 A) ὀνοματοθέτημα ἐλέγχεται ὂν τοῦ τοὺς Νόμους συνθέντος, θαυμασίαν τιν' ἀρμὴν ἐπὶ τὰ τοιαῦτα ὁρμῶντος καὶ ἰδίαν φύσιν ἔχοντος.

701 A.

Τὸ γὰρ τὴν τοῦ βελτίονος δόξαν μὴ φοβεῖσθαι διὰ θράσος τοῦτ' αὐτό ἐστι σχεδὸν ἡ πονηρὰ ἀναισχυντία, διὰ δὴ ἐλευθερίας λίαν ἀποτετολμημένης.

Τῷ γε ταῦτ' εἰπόντι γένη ἄττ' ἀναισχυντίας ἂν εἴη, οὐ τῷ πλείονι ἢ ἥττονι διαφέροντα, ἀλλ' ἰδίᾳ τινὶ φύσει, ὥστε τὴν μὲν εἶναι πονηράν, τὴν δὲ μὴ πονηράν, χρηστὴν ἄρα ἢ γοῦν ἣν ἄν τις ἀνάσχοιτο. Οὕτω δὲ σφόδρ' ἄτοπα καὶ θαυμαστὰ οὐκ ἄν ποτε φθέγξαιτο Πλάτων.

701 A.

Νῦν δὲ ἦρξε μὲν ἡμῖν ἐκ μουσικῆς ἡ πάντων εἰς πάντα σοφίας δόξα καὶ παρανομία, ξυνεφέσπετο δὲ ἐλευθερία. - - Ἐφεξῆς δὴ ταύτῃ τῇ ἐλευθερίᾳ ἡ τοῦ μὴ

ἐθέλειν τοῖς ἄρχουσι δουλεύειν γίγνοιτ' ἄν, καὶ ἑπομένη ταύτῃ φεύγειν πατρὸς καὶ μητρὸς καὶ πρεσβυτέρων δουλείαν καὶ νουθέτησιν, καὶ ἐγγὺς τοῦ τέλους οὖσι νόμων ζητεῖν μὴ ὑπηκόους εἶναι, πρὸς αὐτῷ δὲ ἤδη τῷ τέλει ὅρκων καὶ πίστεων καὶ τὸ παράπαν θεῶν μὴ φροντίζειν, τὴν λεγομένην παλαιὰν Τιτανικὴν φύσιν ἐπιδεικνῦσι καὶ μιμουμένοις.

Παντάπασιν ἄλλην ἀκολουθίαν τῶν ἐκ τῆς ἄγαν ἐλευθερίας κακῶν ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ που ἐξηγούμενος λέγει (424 D), τήνδε· «ἡ γοῦν παρανομία αὕτη (ἐν τῇ μουσικῇ) - - κατὰ σμικρὸν εἰσοικισαμένη ὑπορρεῖ πρὸς τὰ ἤθη τε καὶ ἐπιτηδεύματα· ἐκ δὲ τούτων εἰς τὰ πρὸς ἀλλήλους συμβόλαια μείζων ἐκβαίνει· ἐκ δὲ δὴ τῶν συμβολαίων ἐπὶ τοὺς νόμους καὶ πολιτείας σὺν πολλῇ ἀσελγείᾳ, ἕως ἂν τελευτῶσα πάντα ἰδίᾳ καί δημοσίᾳ ἀνατρέψῃ». Ἐκεῖ μὲν γὰρ δὴ τὸ κακὸν χωρεῖν λέγεται ἀπὸ τῆς μουσικῆς ἐπὶ τὰ ἤθη τε καὶ ἐπιτηδεύματα καὶ ἐντεῦθεν εἰς τὰ πρὸς ἀλλήλους συμβόλαια καὶ τελευτῶν τῶν τε νόμων καὶ τῆς πολιτείας ἅπτεσθαι· ἐν δὲ τοῖς Νόμοις ἀρχὴν μὲν τῆς νόσου καὶ ὁ τούτους γράψας Πλάτωνα μιμούμενος τὴν ἐν μουσικῇ παρανομίαν ὑποτίθεται, ἕπεσθαι δὲ ταύτῃ τὴν πάντων εἰς πάντα δοκησισοφίαν καὶ ἀναισχυντίαν τε καὶ ἀκόλαστον ἐλευθερίαν, ἐφεξῆς δὲ τούτοις γίγνεσθαι τὸ ἄρχουσί τε καὶ γονεῦσι καὶ πρεσβυτέροις ἀπειθεῖν καὶ τέλος νόμων τε καὶ θεῶν τὸ παράπαν ἀμελεῖν.

Ἔπειτα ὁ Πλάτων ἐν Πολιτείᾳ (562 B) αἴτιον εἶναί φησι τοῦ τῆς δημοκρατίας ὀλέθρου οὐ τὴν ἐν τῇ μουσικῇ παρανομίαν, ἐν παρέργῳ περὶ αὐτοῦ λόγον πρόσθεν που ἐν ταύτῃ λόγον ποιησάμενος (424 D), ἀλλὰ τὴν τῆς ἐλευθερίας ἀπληστίαν καὶ τὴν τῶν ἄλλων ἀμέλειαν· λέγει γὰρ «Ἐάν, οἶμαι, δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα κακῶν οἰνοχόων προστατούντων τύχῃ καὶ πορρωτέρω τοῦ δέοντος ἀκράτου αὐτῆς μεθυσθῇ, τοὺς ἄρχοντας δή, ἂν μὴ πάνυ πρᾶοι ὦσι καὶ πολλὴν παρέχωσι τὴν ἐλευθερίαν, κολάζει ὡς μιαροὺς καὶ ὀλιγαρχικούς. Τοὺς δέ γε τῶν ἀρχόντων κατηκόους προπηλακίζει ὡς ἐθελοδούλους καὶ οὐδὲν ὄντας. Οὕτω δὲ προϊὼν

διεξέρχεται, ὅπως ἡ ἄκρατος ἐλευθερία πάντα ἰδίᾳ τε καὶ δημοσίᾳ διαφθείρασα ἄγει τελευτῶσα εἰς τυραννίδα. Τῆς δ' ἄγαν ἐλευθερίας αἰτίαν εἶναι ἡγεῖται οὐ τὴν ἐν μουσικῇ παρανομίαν, καθάπερ ὁ τῶν Νόμων ἡμῖν συγγραφεύς, ἀλλὰ τῆς δημοκρατίας ἀγαθὸν τὴν ἐλευθερίαν προθεμένης, ὥσπερ τῆς ὀλιγαρχίας τὸν πλοῦτον, τὴν ἀπληστίαν ταύτης διαφθείρειν τὴν δημοκρατίαν, ὥσπερ τὴν τοῦ πλούτου ἀπληστίαν τὴν ὀλιγαρχίαν.

701 A.

Ἦρξε μὲν ἡ - - παρανομία, ξυνεφέσπετο δὲ ἡ ἐλευθερία.

Τὸ ἐνταῦθά που τοῦ λόγου ὂν ξυνεφέπομαι πρώτῳ μὲν τῶν λογογραφίαν ἀσκησάντων Ἡροδότῳ ἔοικεν εἰρῆσθαι, πλείστῳ δ' αὐτῷ Ξενοφῶν φαίνεται χρησάμενος, Ἡρόδοτον δήπου παραμιμούμενος. Πλάτων δὲ πυκνὰ μὲν τὸ ξυνέπεσθαι εὑρίσκεται εἰπών, τῶν δ'ἀμφισβητήτων διαλόγων ἔμοιγε (Β' Ζήτ. σ.109) ἐν Νόμοις καὶ Κριτίᾳ καὶ Σοφιστῇ καὶ Τιμαίῳ τὸ ξυνεφέπεσθαι ἐγράφη οὐ Πλάτωνος δοκοῦν εἶναι τὸ ῥῆμα, τὸ σύνηθες αὐτῷ ξυνέπεσθαι ἂν εἰπόντος.

701 C.

- - χαλεπὸν αἰῶνα διάγοντας μὴ λῆξαί ποτε κακῶν.

Τὸ αἰὼν τὸν βίον δὴ λέγον ποιητικὸν φαίνεται ὂν καὶ φίλον ἄρα τῷ τῶν Νόμων συγγραφεῖ. (Ὅμηρος, Ἡσίοδος, Σιμωνίδης (ἐν Πλάτ. Πρωτ. 343), Εὐριπίδης)· καὶ οὐδὲν δήπου ἐστὶ πρὸς τοῦτο, ὅτι καὶ Ἡρόδοτος πόλλ' αὐτὸ εἶπε καὶ Ξενοφῶν μιμούμενος καὶ Πῶλος παρὰ Πλάτωνι (Γοργ. 448 C), Γοργιάζων καὶ ποιητικὸς ἄρα ὤν.

701 C.

Τίνος δὴ καὶ ταῦθ' ἡμῖν αὖ χάριν ἐλέχθη;

Κατάχρησιν τῶν ἐρωτήσεων τούτων ὁ τῶν Νόμων ποιεῖται συγγραφεύς, ὡς ἐν τῷ χωρίῳ τούτῳ ἔδειξεν Ἄστος πολλὰ συλλέξας τοιαῦτα. Αὗται δ' εἰσὶ δι' ὧν ἀπὸ τῶν τοῦ λόγου ἐκβολῶν εἰς τὸ προκείμενον ἐπανιέναι πειρᾶται, ἢ τὰ χύδην ἐν τῷ λόγῳ ἐρριμένα ἢ

ἄνω κάτω ὄντα εἰς ἕν τι εὔτακτον καὶ συναφὲς συνάγειν καὶ διακοσμεῖν. Πλάτων δ' ἄλλον τινὰ τρόπον ταῦτ' οἰκονομῶν εὑρίσκεται· οἷον ἐπὶ τῇ τοῦ πρώτου τῆς Πολιτείας βιβλίου τελευτῇ τάδε Σωκράτης πρὸς Θρασύμαχον περὶ τῆς ἐν τῇ ζητήσει τοῦ δικαίου πλάνης λέγει· «Οὐ μέντοι καλῶς γε εἱστίαμαι (λόγου) δι' ἐμαυτόν, ἀλλ' οὐ διὰ σέ· - - ἐγώ μοι δοκῶ - - πρὶν - - εὑρεῖν τὸ δίκαιον, ὅ,τι ποτ' ἐστίν, ἀφέμενος ἐκείνου ὁρμῆσαι ἐπὶ τὸ σκέψασθαι περὶ αὐτοῦ εἴτε κακία ἐστὶ καὶ ἀμαθία εἴτε σοφία καὶ ἀρετὴ - - ὥστε μοι νυνὶ γέγονεν ἐκ τοῦ διαλόγου μηδὲν εἰδέναι». Ἐν δὲ τῷ ἕκτῳ τοῦ τετάρτου βιβλίου κεφαλαίῳ ὧδε ἡ μετάβασις ἀπὸ τῆς οἰκίσεως τῆς πόλεως εἰς τὴν τῆς δικαιοσύνης ζήτησιν γίγνεται· «Ὠκισμένη μὲν τοίνυν ἤδη ἄν σοι εἴη ἡ πόλις. Τὸ δὲ δὴ μετὰ τοῦτο σκόπει ἐν αὐτῇ φῶς ποθεν πορισάμενος ἱκανὸν - -, ἐάν πως ἴδωμεν ποῦ ποτ' ἂν εἴη ἡ δικαιοσύνη καὶ ποῦ ἡ ἀδικία». Ἐν δὲ τῷ ἐνάτῳ τοῦ αὐτοῦ βιβλίου κεφαλαίῳ ὧδε ὁ λόγος ἀπὸ τῶν τριῶν εἰς τὴν τετάρτην ἀρετήν, τὴν δικαιοσύνην, μεταβαίνει (432 B)· «εἶεν, ἦν δ' ἐγώ· τὰ μὲν τρία ἡμῶν ἐν τῇ πόλει κατῶπται, ὥς γε οὑτωσὶ δόξαι· τὸ δὲ δὴ λοιπὸν εἶδος - - τί ποτ' ἂν εἴη; δῆλον γὰρ ὅτι τοῦτ' ἐστὶν ἡ δικαιοσύνη». Ἐνταῦθα γίγνεται μὲν ἐρώτησις, περὶ σαφοῦς γε μέντοι καὶ ἐγνωσμένου τοῖς ἀκούουσιν, καὶ οὐχ ὥσπερ ἐν τοῖς Νόμοις, οὐκ εἰδότων τῶν τῷ Ἀθηναίῳ προσδιαλεγομένων καὶ ἀπορούντων, ὥς γε δὴ ἡ ἐν τῷδε τῷ χωρίῳ (D) Μεγίλλου ἐρώτησις τίνων; δηλοῖ. Οὐ λέγω δὲ ὅτι οὐδέποτ' οὐδαμοῦ Πλάτων τοιαύτας ἐρωτήσεις τῷ λόγῳ ἐμβαλὼν ἔτυχεν· ἐπεὶ ἐν Πρωταγόρᾳ που (343 B) ὅμοια τῷ Ἀθηναίῳ Σωκράτης ἐρωτῶν εὑρίσκεται «τοῦ δὴ ἕνεκα ταῦτα λέγω»; Ἀλλὰ πρῶτον μὲν Πρωταγόρᾳ Σωκράτης ἐκεῖ ἐρίζων τε καὶ ἁμιλλώμενος ῥητορικὰ σχήματα παίζων ἐν λόγῳ μακρῷ ἐπιτηδεύει, ὧν καὶ αἱ τοιαῦται ἐρωτήσεις αἱ εἰς τὸ προκείμενον μὲν ἀπὸ ἐκτροπῆς ἐν λόγῳ ἐπανάγουσαι, ἐγρηγορέναι δὲ τοὺς νυστάζοντας ποιοῦσαι· ἔπειθ' ἥκιστα ταύταις καταχρώμενος Πλάτων ἁλίσκεται, ὥσπερ ὁ τῶν Νόμων συγγραφεὺς ὑπὸ Ἄστου ἠλέγχθη.

Καίτοι οἱ Σωκράτει ἐν Πολιτείᾳ προσδιαλεγόμενοι οὐ μόνον εἰδότες ποιοῦνται ὑπὸ Πλάτωνος τὰ ἀποσαφήσεως ἢ προσοχῆς ἕνεκα μόνον ἐρωτώμενα ἀλλὰ καὶ ὑπομιμνήσκοντες Σωκράτει πολλάκις τὰ παρὰ τὸ

προτεθὲν λεγόμενα ἢ παραλειπόμενα ἢ καὶ ἐνδεέστερόν τι ἔχοντα, οἵους ἂν κατίδοις ἐν τῷ δευτέρῳ βιβλίῳ Γλαύκωνά τε καὶ Ἀδείμαντον καὶ ἐν τῷ πέμπτῳ ἀρχομένῳ Πολέμαρχόν τε καὶ Ἀδείμαντον, πολλὴν τὴν δύναμιν συμβαλλομένους εἰς τὸ εὐδοκίμως προϊέναι τὸν διάλογον. Ἐν δὲ τῷ ἑνδεκάτῳ τοῦ τετάρτου βιβλίου κεφαλαίῳ (434 D) ἀπὸ τῆς ζητήσεως τῆς ἐν τῇ πόλει δικαιοσύνης ὁ λόγος εἰς τὴν τῆς ἐν ἑκάστῳ ἀνθρώπῳ ἰὼν τῇδέ πῃ ἔχει· «Νῦν δ' **ἐκτελέσωμεν τὴν σκέψιν, ἣν ᾠήθημεν,** εἰ ἐν μείζονί τινι τῶν ἐχόντων δικαιοσύνην πρότερον ἐκεῖνο ἐπιχειρήσαιμεν θεάσασθαι, ῥᾷον ἂν ἐν ἑνὶ ἀνθρώπῳ κατιδεῖν οἷόν ἐστι. Καὶ ἔδοξε δὴ ἡμῖν τοῦτο εἶναι πόλις - - **Ὃ οὖν ἐκεῖ ἐφάνη ἐπαναφέρωμεν εἰς τὸν ἕνα».**

701 D.

ΑΘ. Ταῦτα τοίνυν εἴρηται ἐκείνων ἕνεκα. ΜΕ. Τίνων; ΑΘ. Ἐλέξαμεν ὡς τὸν νομοθέτην δεῖ τριῶν στοχαζόμενον νομοθετεῖν.

Οὐδεὶς ὅστις οὐκ οἶδεν ὅτι κυρίως τὸ ἔλεξα λέγεται, ὅταν τὸ λεγόμενον μακρὸς ᾖ λόγος καὶ ὡς τὸ πολὺ ῥητορικός. Δηλοῦσι δὲ μάλιστα πάντων Θουκυδίδης τε καὶ Ξενοφῶν τοιούτῳ χρησάμενοι τῷ ἔλεξα, καὶ οὐδὲν δεῖ μαρτυρίων, ἵνα μή τις πρὸς εἰδότας μακρολογῇ ἀκαίρως. Ἐνταῦθα δέ γε δῆλον ὅτι τὸ εἴπομεν κύριον ἂν εἴη ἀντὶ τούτου, οὐδ' ηὕρομεν ἡμεῖς ζητοῦντες ἄλλοθί που Πλάτωνος ὅμοιον τὸ ἔλεξα, εἰ μὴ ἐν τῷ ἀλλοτρίῳ ἐμοὶ δοκοῦντι εἶναι Σοφιστῇ (217 E) «Τὸ δ' αὖ σοι μὴ χαρίζεσθαι καὶ τοῖσδε, ἄλλως τε καὶ σοῦ **λέξαντος** ὡς εἶπες ἄξενόν τι καταφαίνεταί μοι καὶ ἄγριον». Ἀντὶ δὲ τοῦ ἐρῶ καὶ εἶπον λίαν πυκνὰ τὸ λέξω τε καὶ ἔλεξα οἱ τραγικοὶ φαίνονται εἰπόντες, ἅμα μὲν καινὰ καὶ ἀήθη λέγειν βουλόμενοι, ἅμα δ' ἴσως μετρικαῖς πειθόμενοι ἀνάγκαις (Αἰσχ. Ἀγ. 857, Εὐρ. Ἱκετ. 625, Σο. Ἠλ. 534, Φιλ. 1173, 1382, Οἰ. Τ. 280, 735, Οἰ. ἐπὶ Κολ. 70. 88. 310. 561 καὶ ἀλλ. πολλ.).

701 E.

Τούτων τοίνυν δύο εἴδη πολιτείας τήν τε δεσποτικωτάτην προελόμενοι καὶ τὴν ἐ λ ε υ θ ε ρ ι κ ω τ ά τ η ν ἐπισκοποῦμεν νυνί.

Τὸ ἐλευθερικός καὶ ἄλλοθί που τῶν Νόμων λεχθὲν (919 Ε), **ἐλευθερικὸν** καὶ ἀνελεύθερον, ὀνοματοποίημα ἔοικεν εἶναι τοῦ δεινοῦ ὀνοματοθετεῖν τούτου συγγραφέως, ὡς πολλὰ πολλάκις αὐτοῦ ἐν τοῖς ἄνω λόγοις τοιαῦτα ἐδείχθη. Οὐδεὶς γοῦν ἄλλος τοῦτο φαίνεται γράψας ἢ οὗτός τε καὶ ὕστεροι Ἀττικισταὶ μόνον, παρ' αὐτοῦ ὡς τὸ εἰκὸς λαβόντες. Πλάτωνι δ' ἀρκοῦν δοκεῖ εἶναι τὸ ἐλεύθερος πολλ' αὔτ' εἰπόντι καὶ δὴ καὶ περὶ οὗ τὸ ἐλευθερικὸς ὁ τῶν Νόμων συνθέτης, ἐναντίον ταχθὲν τῷ ἐλεύθερος (919 Ε)· λέγεται γάρ που ἐν Γοργίᾳ α ἡγοῦμαι **ἐλεύθερόν** τινα εἶναι τοῦτον τὸν ἄνθρωπον, τὸν δὲ μὴ φιλοσοφοῦντα **ἀνελεύθερον** (485 C).

701 Ε.

Λαβόντες δὲ αὐτῶν (τῶν πολιτειῶν) ἑκατέρας μετριότητά τινα, τῶν μὲν τοῦ δεσπόζειν, τῶν δὲ τοῦ ἐλευθεριάσαι, κατείδομεν ὅτι τότε διαφερόντως ἐν αὐταῖς ἐγένετο εὐπραγία, ἐπὶ δὲ τὸ ἄκρον ἀγαγόντων ἑκατέρων--, οὐ συνήνεγκεν οὔτε τοῖς οὔτε τοῖς.

Τὸ ἐλευθεριάζειν ἀπ' Ἀριστοτέλους ἔοικεν ἄρξασθαι εἶναι ἐν τῷ λόγῳ· ἐν τούτῳ γὰρ μόνῳ ἔτι τῶν παλαιῶν ἂν εὕροις ζητῶν (Πολιτ. 1314), τῶν δ' ὑστέρων πολλοῖς γεγραμμένον, Διονυσίῳ τε τῷ Ἁλικαρνασεῖ καὶ Πλουτάρχῳ καὶ Δίωνι τῷ Χρυσοστόμῳ καὶ Διογένει τῷ Λαερτίῳ καὶ Ἀλκίφρονι καὶ ἄλλοις.

(Ἄστος μὲν μεταγράφει λαβόντων δὲ αὐτῶν ἑκατέρων, Σταλλβαῦμος δὲ βιαιοτέραν εἶναι τὴν μεταβολὴν ἡγούμενος καὶ εἰς ἑτέραν ἔτι ἀναγκάζουσαν, τὴν τοῦ ἐν αὐταῖς εἰς ἐν αὐτοῖς, τῷ καθεστῶτι ἐμμένει, τὸ τῶν μὲν-τῶν δὲ τῷ αὐτῶν ἀποδιδούς, οὐδέν' ἐμοὶ δοκεῖν πείθων διά τε τὸ λογικῶς ἄτοπον τῆς τοιαύτης διαιρέσεως καὶ διὰ τὰ εὐθὺς μετὰ ταῦτα ἀγαγόντων καὶ τοῖς, ἄρρεν γένος δηλοῦντα. Ὅτι δὲ καὶ τὸ Ἄστου ἐπανόρθωμα οὐδὲν κατορθοῖ δῆλον ἐκ τοῦ δὲ τοῦ μετὰ τὸ λαβόντες πρᾶξιν ἤτοι ἑτέραν ἢ ἐναντίαν τῆς τοῦ εὐθὺς ἡγουμένου προελόμενοι - - ἐπισκοποῦμεν συνάπτοντος, τὴν τοῦ λαβόντες - - κατείδομεν, οὐδεμιᾶς ἑτέρας ἢ ἐναντίας τῇ Ἄστου ἐπανορθώσει λαβόντων δὲ αὐτῶν ἑκα-

τέρων μετριότητα ἡγησαμένης. Τούτων οὖν ἕνεκα πάντων ἡ μόνη ὀρθὴ τοῦ ἀπόρου λύσις ἡμῖν δοκεῖ εἶναι τὸ τῶν μὲν καὶ τὸ τῶν δὲ κατὰ σύνεσιν εἰς τὸ ἑκατέρας ὑπολαβεῖν ἀναφέρεσθαι, τοὺς πολίτας ἢ τοὺς ἄνδρας ἢ τοὺς πολιτευομένους ἐν ἑκατέρᾳ σημαίνοντα. Καὶ τὰ εὐθὺς δὲ μετὰ ταῦτα ἀγαγόντων ἑκατέρων καὶ οὔτε τοῖς οὔτε τοῖς σαφῶς κατηγορεῖ ὁμοιότατ' ἔχοντα).

701 Ε.

(Ἐπὶ δὲ ἄκρον ἀγαθὸν τῶν ἑκατέρων, τῶν μὲν (τῶν Περσῶν) δουλείας, τῶν δὲ (τῶν Ἀθηναίων) τοὐναντίον, οὐ συνήνεγκεν οὔτε τοῖς οὔτε τοῖς.

Ἀντὶ τοῦ ἀγαθὸν τῶν παραγέγραπται ἐν τοῖς ἀπογράφοις ἀγαγόντων, ὃ οἱ μὲν ἄλλοι ἐκδόται δοκιμάσαντες παρέλαβον, Σάνζος δὲ ἐπανορθῶν ἄγαν ἰόντων μετέγραψε. Καίτοι ἔμοιγε δοκεῖν οὐδαμῶς ὑγιὲς διανόημ' ἂν γίγνοιτο τοῦ τε ἄγαν καὶ τοῦ ἐπὶ τὸ ἄκρον εἰς αὐτὸ συναγομένων. Ἱκανὸν γὰρ ἂν εἴη μόνον τὸ ἐπὶ τὸ ἄκρον ἰέναι ἢ ἄγειν πρὸς ὃ δὴ ὁ λόγος βούλεται).

Τὸ δὲ οὔτε τοῖς οὔτε τοῖς ἀμφιγνοεῖται εἰ ἄρα Πλάτων ἂν εἴποι, οὐδαμοῦ μὲν τῶν ὁμολογουμένων αὐτοῦ διαλόγων τοιαύτης λόγου πλοκῆς εἰρημένης, σπανιώτατα δ' ἄλλως ἐν τῷ καταλογάδην λόγῳ λεχθείσης, οἷον ἐν Ξενοφῶντός που Ἀθηναίων Πολιτείᾳ (2, 8. 12), «ἐξελέξαντο τοῦτο μὲν **ἐκ τῆς**, τοῦτο δὲ **ἐκ τῆς**», «Οὐδὲ τἄλλα δύο ἢ τρία μιᾷ πόλει, ἀλλὰ τὸ μὲν **τῇ**, τὸ δὲ **τῇ**». Τὸ γὰρ τῆς Πλάτωνος Πολιτείας που (546 C) δοκοῦν εἶναι τοιοῦτον «ἰσομήκη μὲν τῇ, προμήκη δὲ» κατ' ἐπανόρθωσιν ἐγράφη ἀντὶ τῆς γραφῆς «ἰσομήκη μέν, τῇ δὲ προμήκει» διὰ τὴν διττογραφίαν προμήκει καὶ προμήκη.

702 Α.

Τὸ Δωρικὸν ἐθεασάμεθα κατοικιζόμενον στρατόπεδον -- καὶ τοὺς πρώτους δὴ τοὺς περιλιπεῖς γενομένους ἐκ τῆς φθορᾶς.

Ὅ γε δὴ ὁ περιλιπὴς βούλεται λέγειν Πλάτων τῷ ὑπολοίπῳ ἢ λοιπῷ ἢ λειπομένῳ φιλεῖ φράζειν, ὥς γ' ἐμὲ ζητοῦντ' εὑρεῖν.

Τὸ δὲ περιλιπὴς ὁ τοὺς Νόμους γεγραφὼς μόνον εἶπε καὶ τῶν ὑστέρων πολλοί, Πολύβιός τε καὶ Δίων ὁ Κάσσιος καὶ Στράβων καὶ εἴ τις ἄλλος τοιοῦτος. Καὶ τὸν περιλειπόμενον δ' οὐκ ἐν ἀναμφισβητήτοις διαλόγοις ἂν εὕροις γεγραμμένον, ἀλλ' ἐν ἀλλοτρίοις ἔμοιγε δοκοῦσιν εἶναι, τῷ Πολιτικῷ τε καὶ τῷ Κριτίᾳ καὶ τῷ Τιμαίῳ καὶ δὴ καὶ τοῖς Νόμοις.

702 Α.

Καὶ μὴν αὐτῶν γ' ἕνεκα καὶ τὸ Δωρικὸν ἐθεασάμεθα κατοικιζόμενον στρατόπεδον - - -, ἔτι δὲ τοὺς ἔμπροσθεν τούτων γενομένους ἡμῖν λόγους περί τε μουσικῆς καὶ μέθης καὶ τὰ τούτων ἔτι πρότερα. Ταῦτα γὰρ πάντα εἴρηται τοῦ κατιδεῖν ἕνεκα πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη καὶ ἰδίᾳ πῶς ἄν τις βέλτιστα τὸν αὑτοῦ βίον διαγάγοι.

Τούτοις οἷον δεσμοῖς τισι ἡμῖν ὁ συγγραφεὺς ἀγωνίζεται εἰς ἓν ὅλον συνάγειν καὶ συνδεῖν τὰ διαρρέοντα καὶ λογικῶς δυσσύνακτα ἔν τε τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τρίτῳ βιβλίῳ εἰρημένα, ἓν κατ' ἀρχὰς αὐτοῖς ὑποτιθέμενος τέλος (τοῦ κατιδεῖν ἕνεκα πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη), καὶ ἔπειτα δεύτερον τούτῳ προστιθεὶς (καὶ **ἰδίᾳ** πῶς ἄν τις βέλτιστα **τὸν αὑτοῦ βίον** διαγάγοι), ὅμοιος ἀεὶ ἑαυτῷ ὤν. Τοιαῦτα γὰρ αὐτὸν πάσχοντα ἠλέγξαμεν, ὅτε τὴν παιδείαν ἐπειρᾶτο ὁρίζεσθαι, ἄλλοτ' ἄλλα λέγοντα (Ἀθην. τ. 8,215 Β΄ Ζητ. σ. 58).

Ἵνα δὲ καὶ ἄλλως δηλωθῇ ὅτι ἄλλος ἢ Πλάτων ὁ τοὺς Νόμους συνθεὶς τυγχάνει ὤν, ἐξετάσωμεν παρ' ἄλληλα ὅλα λόγου ἑκατέρου μέρη περὶ ὅμοι' ἄττα πράγματα ὄντα. Ὀψόμεθα δ' ὅτι τούτου ἡ λέξις ὅλῳ καὶ παντὶ τῆς ἐκείνου διαφέρει. Λάβωμεν δὴ τοῦ τρίτου τῶν Νόμων βιβλίου τὸν λόγον, ἐν ᾧ λέγεται μὲν ὥς τε ἂν εἶχε μετὰ κατακλυσμοὺς τὰ τῶν ἀνθρώπων καὶ διὰ τί τοῖς ἐκ τούτων περιλελειμμένοις οὔτ' ἂν στάσις οὔτε πόλεμος ἐγίγνετο (677 κέ.), εἰκαστὰ δὲ πράγματα ἐκφράζεται, οἷά που τὰ ἐν Γοργίᾳ καὶ ἐν Πολιτείᾳ περὶ τῶν ἐν Ἅιδου ὑπὸ Σωκράτους λεγόμενα (Γοργ. 523 Α κέ. Πολ.

654 C κέ.), ἢ τὰ ἐν Πολιτείᾳ περὶ νεὼς καὶ ναυκλήρου καὶ κυβερνήτου ὡς εἰκόνος ἀκολάστου δημοκρατικῆς πολιτείας γεγραμμένα (480 B κέ).

Γοργ. 523 A κέ.

« Διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. Ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου καὶ ἀεὶ καὶ νῦν ἔτι ἐστὶν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς τίσεως καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. Τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. Κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο· ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ ⟨οἱ⟩ ἐκ τῶν μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷεν σφίσιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. Εἶπεν οὖν ὁ Ζεύς Ἀλλ'ἐγώ, ἔφη, παύσω τοῦτο γιγνόμενον ».

Πῶς οὖν ἡμῖν ἔχει ὁ πρῶτος τοῦ ἐν Γοργίᾳ τούτου λόγου πρὸς τὸν πρῶτον οὗ εἴπομεν ἐν Νόμοις (677 E); Τοῦτον μὲν ὁρᾷ τις ἀφελῆ ὄντα καὶ λείως τε καὶ ὁμαλῶς καὶ ἀκωλύτως ῥέοντα, σχεδὸν δ' ἀνεπιτήδευτον τὴν τῶν ὀνομάτων τάξιν καὶ τῶν Λυσιείων διηγήσεων ἐγγύς, αὐτὰ δὲ ταῦτα συνήθη τε καὶ κοινὰ ἐκλελεγμένα, ὥστε σαφήνειαν θαυμαστήν τινα τὸ ὅλον ἔχειν. Λέληθε δὲ ἠρέμα πως ποικιλλομένη τε καὶ κοσμουμένη ἡ λέξις, ἅμα μὲν ἐναντίως τῷ ὁσίως τοῦ ἀθέως λεγομένου, καὶ οὐ τοῦ ἀνοσίως, τῷ δ' ἀπιόντα οἰκεῖν τοῦ ἰέναι ἀντιτιθεμένου, ἅμα δὲ προτάσεων ἀντὶ μετοχῶν τῷ λόγῳ συναφεῖ ἐμβαλλομένων, τῆς τε « ἐπειδὰν τελευτήσῃ » καὶ τῆς « ὃ δὴ Τάρταρον καλοῦσι », ὥστε τὸ ἐκ τῶν μετοχῶν μονοειδὲς τῆς λέξεως ἐκστῆναι καὶ φυγεῖν. Καὶ μέγεθος δέ τι τῶν λεγομένων ἐχόντων καὶ ῥητορικῆς δεομένων αὐξήσεως, δύο ὅμως μόνον πλεονασμοὶ ἔτυχον λεχθέντες, τό τε « ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν » καὶ τὸ « τίσεώς τε καὶ δίκης ».

Νομ. 677 Ε κέ.

«Οὐκοῦν οὕτω δὴ λέγομεν ἔχειν τότε, ὅτ' ἐγένετο ἡ φθορά, τὰ περὶ τοὺς ἀνθρώπους πράγματα, μυρίαν μέν τινα φοβερὰν ἐρημίαν, γῆς δ' ἀφθόνου πλῆθος πάμπολυ, ζῴων δὲ τῶν ἄλλων ἐρρόντων βουκόλι' ἄττα καὶ εἴ τί που αἰγῶν περιλειφθὲν ἐτύγχανε γένος, σπάνια καὶ ταῦτα νέμουσιν εἶναι ζῆν τότε κατ' ἀρχάς.

- -

(678 C) Ἆρ' οὐχ ἅσμενοι μὲν ἑαυτοὺς ἑώρων δι' ὀλιγότητα ἐν τοῖς περὶ ἐκεῖνον τὸν χρόνον, τὰ πορεῖα δέ, ὥστε ἐπ' ἀλλήλους τότε πορεύεσθαι κατὰ γῆν ἢ κατὰ θάλατταν σὺν ταῖς τέχναις ὡς ἔπος εἰπεῖν πάντα σχεδὸν ἀπωλώλει; Ξυμίσγειν οὖν ἀλλήλους οὐκ ἦν οἶμαι σφόδρα δυνατόν· σίδηρος γὰρ καὶ χαλκὸς καὶ πάντα τὰ μετάλλεια συγκεχυμένα ἠφάνιστο, ὥστε ἀπορία πᾶσα ἦν τοῦ ἀνακαθαίρεσθαι τὰ τοιαῦτα, δρυοτομίας τε εἶχον σπάνιν· εἰ γάρ που καὶ περιγεγονὸς ἦν ὄργανον ἐν ὄρεσι, ταῦτα μὲν ταχὺ κατατριβέντα ἠφάνιστο, ἄλλα δὲ οὐκ ἔμελλε γενήσεσθαι, πρὶν πάλιν ἡ τῶν μεταλλέων ἀφίκοιτο εἰς ἀνθρώπους τέχνη».

Ἡ δὲ πρώτη τοῦ ἐν τοῖς Νόμοις λόγου λέξις Πλατωνείου μὲν εὐροίας καὶ λειότητος ἐνδεεστέρα ἐστὶν ἐμπείρως τῶν τοῦ φιλοσόφου λόγων ἔχοντι καὶ μάλιστα ἡ μέχρι που τοῦ πράγματα, σκαιῶς μετὰ τὸ τότε τοῦ ὅτ' ἐγένετο ἡ φθορὰ παρεμπεσόντος καὶ πολὺ τό τε ἔχειν καὶ τὸ τὰ περὶ τοὺς ἀνθρώπους πράγματα ἀπ' ἀλλήλων διαστήσαντος· μετοχῆς δ' οὐδεμιᾶς ἡγουμένης, οὐδὲν ἂν τις τὴν ποικιλίας θήραν αἰτιάσαιτο τοῦ πάθους οὐδὲ τὸ εὐλαβεῖσθαι τὸ μονοειδές. Ἀντίτυπον δ' ἐστὶ καὶ σκληρὸν τὸ «τότ' ὅτ' ἐγένετο», ἄχαριν καὶ ἀηδῆ τῶν ἤχων τοτ οτε το ἔχον τὴν ἀκολουθίαν. Πάντων δὲ τούτων τῶν περὶ τὴν σύνθεσιν κακῶν ἀπαλλαγὴ ἂν ἐγένετο, εἰ ὧδέ πως ἔγραψεν ὁ γράψας «Οὐκοῦν οὕτω δὴ λέγομεν ἔχειν τὰ περὶ τοὺς ἀνθρώπους μετὰ τὴν φθοράν»; Τὰ δὲ μετὰ ταῦτα περιττῶς ἐξειργασμένα εὑρίσκεται καὶ ἥκιστα

κατὰ Πλατωνικὴν ἁπλότητά τε καὶ ἀφέλειαν, παντοίοις δὲ κόσμοις καὶ τεχνήμασι περὶ τὴν λέξιν ἐσκευασμένα, οἷα ἥ τε ἀντίθεσις μυρίαν μέν, γῆς δέ, ζώων δὲ καὶ τὸ ποιητικῶς κοσμητικὸν φοβερὰν (ἐρημίαν) καὶ ἡ εἰς δείνωσιν ἄγουσα αὔξησις καὶ πλεονασμὸς (γῆς) ἀφθόνου πλῆθος πάμπολυ καὶ ἡ παρήχησις πλῆθος πάμπολυ πρὸς τῇ μικρῷ πρόσθεν (αὐτ. D) τὰ δ' ἄλλα ἄλλοις πάμπολλα καὶ τὸ Γοργιείως ποιητικὸν ἅμα καὶ ἀρχαϊκὸν (ζώων δὲ τῶν ἄλλων) ἐρρόντων βουκόλι' (ἄττα). Δῆλα δ' ἐστὶν ἄγαν ἐζητημένα καὶ ἐσκεμμένα ἥ τε τῶν ὀνομάτων ἐν λόγῳ διακόσμησις καὶ τὸ κατὰ Θουκυδίδην ἢ Δημοσθένη πολυσχημάτιστον. Προτέτακται μὲν γὰρ ἐν τῷ πρώτῳ τῶν ἀντιθέτων τοῦ προσηγορικοῦ τὰ ἐπίθετα λεγόμενα ὀνόματα, τοῦ ἐρημίαν τό τε μυρίαν καὶ τὸ φοβεράν, ἐν δὲ τῷ δευτέρῳ ἐπιτέτακται, τὸ ἀφθόνου καὶ τὸ πάμπολυ τῇ γῇ καὶ τῷ πλήθει. Βουκόλια δ' ἄττα εἰπὼν περὶ βοῶν τῶν μετὰ κατακλυσμὸν περιλειφθεισῶν, οὐχ ὅμοια καὶ περὶ ὁμοίων αἰγῶν εἰπεῖν ἐβουλήθη· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ φανερῶς ποικίλλων παντάπασιν ἄλλως τὸν περὶ τούτου λόγον ἐσχημάτισεν, εἴ τί που αἰγῶν περιλειφθὲν ἐτύγχανε γένος ἀντ' ἐκείνου ἑλόμενος γράψαι.

Λαβόντες δ' ἐπισκεψώμεθα ἤδη καὶ παρεξετάσωμεν μακράς τινας λόγου περιόδους τῶν Νόμων παρ' ἄλλας τοιαύτας τοῦ τε Γοργίου καὶ τῆς Πολιτείας, ὅπως ἴδωμεν εἴτε τῳ ἐκεῖναι τούτων διαφέρουσιν εἴτε καὶ μή. Ἔστω δὴ οὖν ἡμῖν ἐκ Γοργίου μὲν τοῦ ὀγδοηκοστοῦ κεφαλαίου ὃ Σωκράτης πρὸς Καλλικλέα περὶ τῆς εἰς Ἅιδου τῶν ψυχῶν ἀφίξεως καὶ κρίσεως λέγει (524 D)·

«Ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας παρὰ τὸν Ῥαδάμανθον, ὁ Ῥαδάμανθος ἐκείνους ἐπιστήσας θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν, ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς, ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας, ἃ ἑκάστη ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχήν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι· καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατίας τῶν πράξεων ἀσυμμετρίας τε καὶ αἰ-

σχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν· ἰδὼν δὲ ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη».

Ἐκ τῆς Πολιτείας δὲ λάβωμεν δύο τινὰς λόγου μοίρας, πρῶτον μὲν τοῦ ἕκτου βιβλίου, Σωκράτους τινὰ πρὸς Ἀδείμαντον λόγον (488 A), ἐν ᾧ ἡ πολιτεία πρὸς ναῦν εἰκάζεται

«Νόησον γὰρ τουτονὶ γενόμενον εἴτε πολλῶν νεῶν πέρι εἴτε μιᾶς· ναύκληρον μεγέθει καὶ ῥώμῃ ὑπὲρ τοὺς ἐν τῇ νηὶ πάντας, ὑπόκωφον δὲ καὶ ὁρῶντα ὡσαύτως βραχύ τι καὶ γιγνώσκοντα περὶ ναυτικῶν ἕτερα τοιαῦτα, τοὺς δὲ ναύτας στασιάζοντας πρὸς ἀλλήλους περὶ τῆς κυβερνήσεως, ἕκαστον οἰόμενον δεῖν κυβερνᾶν, μήτε μαθόντα πώποτε τὴν τέχνην μήτε ἔχοντα ἀποδεῖξαι διδάσκαλον ἑαυτοῦ μηδὲ χρόνον ἐν ᾧ ἐμάνθανε, πρὸς δὲ τούτοις φάσκοντας μηδὲ διδακτὸν εἶναι, ἀλλὰ καὶ τὸν λέγοντα ὡς διδακτὸν ἑτοίμους κατατέμνειν, αὐτοὺς δὲ αὐτῷ ἀεὶ τῷ ναυκλήρῳ περικεχύσθαι δεομένους καὶ πάντα ποιοῦντας, ὅπως ἂν σφίσι τὸ πηδάλιον ἐπιτρέψῃ, ἐνίοτε δ' ἂν μὴ πείθωσιν, ἀλλὰ ἄλλοι μᾶλλον, τοὺς μὲν ἄλλους ἢ ἀποκτείναντας ἢ ἐκβάλλοντας ἐκ τῆς νεώς, τὸν δὲ γενναῖον ναύκληρον μανδραγόρᾳ ἢ μέθῃ ἤ τινι ἄλλῳ ξυμποδίσαντας τῆς νεὼς ἄρχειν χρωμένους τοῖς ἐνοῦσι, καὶ πίνοντάς τε καὶ εὐωχουμένους πλεῖν ὡς τὸ εἰκὸς τοὺς τοιούτους, πρὸς δὲ τούτοις ἐπαινοῦντας, ναυτικὸν μὲν καλοῦντας καὶ κυβερνητικὸν καὶ ἐπιστάμενον τὰ κατὰ ναῦν, ὃς ἂν ξυλλαμβάνειν δεινὸς ᾖ, ὅπως ἄρξουσιν ἢ πείθοντες ἢ βιαζόμενοι τὸν ναύκληρον, τὸν δὲ μὴ τοιοῦτον ψέγοντας ὡς ἄχρηστον, τοῦ δὲ ἀληθινοῦ κυβερνήτου πέρι μήδ' ἐπαΐοντας, ὅτι ἀνάγκη αὐτῷ τὴν ἐπιμέλειαν ποιεῖσθαι ἐνιαυτοῦ καὶ ὡρῶν καὶ οὐρανοῦ καὶ ἄστρων καὶ πνευμάτων καὶ πάντων τῶν τῇ τέχνῃ προσηκόντων, εἰ μέλλει τῷ ὄντι νεὼς ἀρχικὸς ἔσεσθαι, ὅπως δὲ κυβερνήσει ἐάν τέ τινες βούλωνται ἐάν τε μή, μήτε τέχνην τούτου μήτε μελέτην οἰομένους δυνατὴν εἶναι λαβεῖν ἅμα καὶ τὴν κυβερνητικήν».

δεύτερον δὲ τοῦ δεκάτου αὐτοῦ βιβλίου τῆς Ἠρὸς τοῦ Ἀρμενίου

διηγήσεως, περὶ ὧν εἶδε καὶ ἤκουσεν ἐν Ἅιδου τελευτήσας καὶ δωδεκαταῖος ἀναβιοὺς (614 D), τὸ ἀπὸ τοῦ ὁρᾶν δὴ καὶ ἑξῆς·

«('Επειδὴ οὗ ἐκβῆναι τὴν ψυχὴν πορεύεσθαι μετὰ πολλῶν καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον, ἐν ᾧ τῆς τε γῆς δύ' εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἄλλα καταντικρύ· δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι, οὕς, ἐπειδὴ διαδικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ --, τοὺς δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ κάτω --) ὁρᾶν δὴ ταύτῃ μὲν καθ' ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς ἀπιούσας τὰς ψυχάς, ἐπειδὴ αὐταῖς δικασθείη, κατὰ δὲ τὼ ἑτέρω ἐκ μὲν τοῦ ἀνιέναι ἐκ τῆς γῆς μεστὰς αὐχμοῦ τε καὶ κόνεως, ἐκ δὲ τοῦ ἑτέρου καταβαίνειν ἑτέρας ἐκ τοῦ οὐρονοῦ καθαράς· καὶ τὰς ἀεὶ ἀφικνουμένας ὥσπερ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν καὶ ἀσμένας εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανηγύρει κατασκηνᾶσθαι, καὶ ἀσπάζεσθαί τε ἀλλήλας ὅσαι γνώριμαι, καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων τὰ ἐκεῖ καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ παρ' ἐκείναις, διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν ὀδυρομένας τε καὶ κλαιούσας, ἀναμιμνησκομένας ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ (εἶναι δὲ τὴν πορείαν χιλιέτη), τὰς δ' αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι καὶ θέας ἀμηχάνους τὸ κάλλος».

Τῶν δὲ Νόμων τῶν ἐνταῦθά που ὑπὸ τοῦ 'Αθηναίου λεγομένων παραλάβωμέν τινα, οἷον τὸ (679 D).

«Οὐκοῦν εἴπομεν ὅτι γενεαὶ διαβιοῦσαι πολλαὶ τοῦτον τὸν τρόπον τῶν πρὸ τοῦ κατακλυσμοῦ γεγονότων καὶ τῶν νῦν ἀτεχνότεροι μὲν καὶ ἀμαθέστεροι πρός τε τὰς ἄλλας μέλλουσιν εἶναι τέχνας καὶ πρὸς τὰς πολεμικάς, ὅσαι τε πεζαὶ καὶ ὅσαι κατὰ θάλατταν γίγνονται τὰ νῦν καὶ ὅσαι δὴ κατὰ πόλιν μόνον αὐτοῦ, δίκαι καὶ στάσεις λεγόμεναι, λόγοις ἔργοις τε μεμηχανημέναι πάσας μηχανὰς εἰς τὸ κακουργεῖν τε ἀλλήλους καὶ ἀδικεῖν, εὐηθέστεροι δὲ καὶ

ἀνδρειότεροι καὶ ἅμα σωφρονέστεροι καὶ ξύμπαντα δικαιότεροι; Τὸ δὲ τούτων αἴτιον ἤδη διεληλύθαμεν».

Καὶ τὸ ὀλίγον πορρωτέρω (681 Α).

«Τῶν οἰκήσεων τούτων μειζόνων αὐξανομένων ἐκ τῶν ἐλαττόνων καὶ πρώτων ἑκάστην τῶν σμικρῶν παρεῖναι κατὰ γένος ἔχουσαν τόν τε πρεσβύτατον ἄρχοντα καὶ αὑτῆς ἔθη ἴδια διὰ τὸ χωρὶς ἀλλήλων οἰκεῖν, ἕτερα ἀφ' ἑτέρων ὄντων τῶν γεννητόρων τε καὶ θρεψάντων, ἃ εἰθίσθησαν περὶ θεούς τε καὶ ἑαυτοὺς κοσμιωτέρων μὲν κοσμιώτερα καὶ ἀνδρικῶν ἀνδρικώτερα· καὶ κατὰ τρόπον οὕτως ἑκάστους τὰς αὑτῶν αἱρέσεις εἰς τοὺς παῖδας ἀποτυπουμένους καὶ παίδων παῖδας, ὃ λέγομεν, ἥκειν ἔχοντας ἰδίους νόμους εἰς τὴν μείζονα ξυνοικίαν».

Καὶ πρῶτον μὲν εὐθὺς ἀναγιγνώσκων τις αἰσθάνεται ὁμοίως μὲν ἔχουσαν τὴν λέξιν τῆς τε μιᾶς ἐν Γοργίᾳ περιόδου καὶ τῶν ἐν τῇ Πολιτείᾳ δύο, διάφορον δὲ τῶν ἐν τοῖς Νόμοις οὖσαν. Ἐκεῖναι μὲν γὰρ ἐλαίου διαφανοῦς ῥεύματι λείῳ καὶ ἀψοφητὶ ῥέοντι ἐοίκασιν ἢ θαλάττῃ ἐν γαλήνῃ κατοπτροειδεῖ μικρὸν ἢ οὐδὲν κυμαινούσῃ. Ὁ γὰρ λόγος ἀπαθὴς ὢν σαφήνειαν διώκει μάλιστα τὴν δι' ἀφελείας καὶ ἁπλότητος.

Καὶ ἐν μὲν τῷ Γοργίᾳ ἐὰν ἐν δέκα μόνον τῆς περιόδου στίχοις ζητήσωμεν, ὅσαι τὸ τῶν στίχων πλῆθος αἱ τῶν Νόμων ὁρισθεῖσαι περίοδοί εἰσιν, οὐδὲν μὲν ὑπερβατὸν εὑρίσκομεν ἑνόν, τὴν δὲ φύσει προσοῦσαν τῷ λόγῳ τῶν ὀνομάτων τάξιν ἐλάχιστα ἐμφάσει ταραττομένην αἰσθανόμενα. Ἐπεὶ τὸ μὲν προλεχθῆναι τοῦ ἐπιστήσας τὸ ἐκείνων καὶ τοῦ ψυχὴν τὸ ἑτέραν οὐδ' ἔστιν ἀκριβῶς εἰπεῖν τοῦ συγγράψαντος ἴδιον ἐνταῦθα ἔργον, ἀλλὰ τῆς Ἑλληνίδος ἰδίωμα φωνῆς, ᾧ ὡς τὰ πολλὰ μὲν τῶν προσωπικῶν ἀντωνυμιῶν αἱ πτώσεις αἱ πλάγιαι ἡγοῦνται τῶν ῥημάτων ἐν τῇ τῶν ὀνομάτων τάξει, θαμὰ δὲ ἡ κτητικὴ γενικὴ λεγομένη, ὅταν ἐν χώρᾳ ἐπιθετικῶν διορισμῶν ᾖ. Διὰ τόνον δὲ λόγου αὐτὸς ὁ Πλάτων ἐν τοῖς δέκα τούτοις στίχοις πρὸ τοῦ οἰκείου ῥήματος φαίνεται εἰπὼν τὸ βασιλέως μόνον, πρὸ τοῦ ἐπιλαβόμενος, καὶ τὸ ὑπὸ ἐξουσίας (καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατίας), πρὸ τοῦ γέμουσαν, τὰ δ' ἄλλα πάντα κατὰ φύσιν καὶ σύνταξιν διακοσμήσας εὑρίσκεται.

Τοῦ δὲ περὶ ναυκλήρου τῆς Πολιτείας λόγου ἐν στίχοις ἰσοπληθέσιν οὐδενὶ μὲν ὑπερβατῷ ζητῶν ἂν συντύχοις· οὐκ ἂν εἴποις δὲ δι' ἔμφασιν τὸ διδακτὸν τετάχθαι πρὸ τοῦ εἶναι· ἠνάγκασε γάρ τοι τοῦτο τὸ μηδέ. Μία δὲ μόνον ὀνόματος μετάθεσις τοῦ τόνου ἕνεκα τοῦ λόγου οὖσα τυγχάνει, ἡ πρὸ τοῦ περικεχύσθαι τοῦ ναυκλήρου, πανταχοῦ ἀλλαχοῦ τοῦ κατὰ φύσιν τῶν ὀνομάτων κόσμου κρατοῦντος.

Καὶ ἐν τῷ Ἠρὸς δὲ τοῦ Ἀρμενίου μύθῳ ἀπὸ τοῦ ὁρᾶν δὴ εἰς στίχους δέκα ἐξετάζοντες ἐλάχιστα ῥητορικῶς τὸν κατὰ σύνταξιν τῶν ὀνομάτων κόσμον κινούμενον εὑρίσκομεν, καὶ δὴ μόνον ἐν τῷ ὥσπερ ἐκ πολλῆς πορείας καὶ τῷ ἀσμένας εἰς τὸν λειμῶνα.

Οὕτω δέ που τὴν λέξιν καὶ ὁμοίως ἑαυτῷ Πλάτων ἔχων ἀπὸ τοῦ ἐνενηκοστοῦ καὶ τριακοσιοστοῦ ἔτους, περὶ ὃ δοκεῖ τὸν Γοργίαν γεγραφέναι, εἰς τὸ ἑβδομηκοστὸν καὶ τριακοσιοστόν, τὸν τῆς συγγραφῆς τῆς Πολιτείας χρόνον εἶναι δοκοῦντα, πῶς ποτ' ἂν καὶ δέκα ἔτεσιν ὕστερον, εἰς ὅ φασι τοὺς Νόμους συγγεγράφθαι, οὕτως ἂν ἠλλοιώθη τὸν λόγον, ἀλλ' οὐχ ὥσπερ οὔτε Ἰσοκράτης οὔτε Σοφοκλῆς; Ἐπεὶ ἐν μὲν τῇ πρώτῃ τούτοιν τοῖν τῶν Νόμων περιόδοιν (679 D), τῇ ἀπὸ τοῦ Οὐκοῦν εἴπομεν εὐθὺς δύο μὲν ὑπερβατὰ ἂν εὕροιμεν σκοπούμενοι, τό τε ἐν τῷ **γενεαὶ** διαβιοῦσαι **πολλαὶ** τοῦτον τὸν χρόνον καὶ τὸ ἐν τῷ **τὰς ἄλλας** μέλλουσιν εἶναι **τέχνας**, ἃ τῶν ἱκανῶς ὑστέρων τοῦ τῇ ῥητορικῇ τετριμμένου λόγου ὄντα τεχνήματα πέπηγε συνήθη καὶ πυκνὰ τῆς μετ' Ἀλέξανδρον λέξεως, πολὺ τῷ τρόπῳ τούτῳ τοῦ λόγου χαιρόντων τῶν γραφόντων. Ἔπειτα πολλή τε καὶ ἄμετρος ἡ ὑπὲρ τοῦ τόνου τοῦ λόγου ταραχὴ τῆς κατὰ φύσιν τῶν ὀνομάτων διακοσμήσεως. Προυτάχθη γὰρ τό τε πρὸ κατακλυσμοῦ τοῦ γεγονότων καὶ τοῦτο σὺν τῷ νῦν τοῦ ἀτεχνότεροι καὶ ἀμαθέστεροι καὶ ταῦτα τοῦ εἶναι καὶ ἔτι τὸ κατὰ θάλατταν τοῦ γίγνονται καὶ τὸ δίκαι καὶ στάσεις τοῦ λεγόμεναι καὶ τὸ λόγοις ἔργοις τε τοῦ μεμηχανημέναι καὶ τὸ τούτων τοῦ αἴτιον καὶ τοῦτο σὺν τῷ ἤδη τοῦ διεληλύθαμεν, ὀκτὼ μεταθέσεων ὀνομάτων γενομένων τῆς ἐν τῷ λόγῳ ἐμφάσεως χάριν πρὸς δύο ἢ τρεῖς τὰς ἐν ταῖς εἰρημέναις τοῦ τε Γοργίου καὶ τῆς Πολιτείας λόγου περιόδοις. Ἔτι δὲ τὸ σχῆμα ἡ ἀναφορά, ἡ ὅσαι τε - καὶ ὅσαι - καὶ ὅσαι δή, ἡμῖν προσπίπτει κόσμημα τοῦ λόγου

σαφῶς οὖσα. Σημεῖον δ' οὐ σμικρὸν ῥητορικῆς τῆς λέξεως κατασκευῆς καὶ τοῦ ὑστέρου δὴ λόγου τυγχάνει ὄν, καὶ ὅπερ μάλιστα Δημοσθένους ἐστὶν ἰδίωμα, αἱ συνωνύμων ὀνομάτων συζυγίαι, οἷον ἀτεχνότεροι καὶ ἀμαθέστεροι, κακουργεῖν καὶ ἀδικεῖν.

Ὁμοίως δὲ καὶ παραπλησίως καὶ ἡ ἑτέρα ὧν εἴπομεν τῶν Νόμων λέξεων ἡ ἀπὸ τοῦ τῶν οἰκήσεων τούτων ἀρχομένη εὑρίσκεται ἔχουσα. Ἐπεὶ προτέτακται μὲν ῥητορικοῦ τόννου ἕνεκα τοῦ τε αὐξανομένων τὸ μειζόνων καὶ τοῦ ἔχουσαν τὸ κατὰ γένος καὶ τοῦ οἰκεῖν τὸ χωρὶς ἀλλήλων καὶ τοῦ γεννητόρων καὶ θρεψάντων τὸ ἑτέρων ὄντων καὶ τὸ κοσμιωτέρων καὶ ἀνδρικῶν τοῦ κοσμιώτερα καὶ ἀνδρικώτερα καὶ τοῦ ἀποτυπομένους τό τε κατὰ τρόπον καὶ τὸ οὕτως καὶ τὸ ἀναιρέσεις καὶ τὸ εἰς τοὺς παῖδας καὶ τοῦ παῖδας τὸ παίδων. Θαυμαστὸν οὖν ὅσον ἡ τῶν ὀνομάτων κατὰ φύσιν τάξις οἷον πνεύματί τινι τῇ ῥητορικῇ ἐκινήθη δυνάμει καὶ διατετάρακται. Θεάσασθαι δὲ δεῖ ἔτι καὶ τὸν ἄλλον περὶ τὸν τόνον τοῦ λόγου ῥητορικὸν καλλωπισμόν, ὅσος συμβαίνει ἐπανθεῖν. Ῥητορικῆς μὲν γὰρ ἐκφράσεως χάριν πλεονάζει ὁ λόγος περὶ τὸ ἐκ τῶν ἐλαττόνων καὶ πρώτων ἐξὸν ἀμφότερα ἀπεῖναι οὐδ' ἐπὶ μιᾷ περὶ τὸ νόημα ἀτελείᾳ καὶ ἐλλείψει. Πολὺς δὲ καὶ ἄχαρις ὁ τῶν παρονομασιῶν καὶ παρηχήσεων πάρεστι κόσμος, οἷον ἕτερα ἀφ' ἑτέρων καὶ κοσμιωτέρων μὲν κοσμιώτερα καὶ ἀνδρικῶν ἀνδρικώτερα καὶ παίδων παῖδας καὶ πεντάκις ἐφεξῆς ἐπὶ τελευτῇ ὀνόματος παραφερομένου τοῦ ω, ἑτέρων ὄντων τῶν γεννητόρων καὶ θρεψάντων. Τούτοις δ' ἂν προσθείης οὐκ ὀλίγοις οὖσι τό τε σχῆμα τὸ χιαστὸν τὸ ἐν τοῖς ἕτερα ἀφ' ἑτέρων-κοσμιωτέρων κοσμιώτερα, καὶ τὴν Δημοσθένειον συνωνύμων ὀνομάτων συζυγίαν, τὴν γεννητόρων τε καὶ θρεψάντων. Ἐκ πάντων δὲ τούτων συλλογίσαιο ἂν ἡλίκη ἡ διαφορὰ τῆς τῶν Νόμων λέξεως καὶ τῆς τῶν ἀναμφισβητήτων Πλάτωνος διαλόγων ἡ περὶ τὴν ἐκλογὴν καὶ τὴν σύνθεσιν τῶν ὀνομάτων.

Ταῦτα δὲ δὴ πάντα ἀνδρός ἐστι περὶ ἐλάττονος τὴν σαφήνειαν τοῦ τόνου καὶ τοῦ κόσμου τοῦ ῥητορικοῦ ποιουμένου. Οὗτος δ' οὐδαμῶς ἂν εἴη Πλάτων, οὗ ἡ πᾶσα φύσις καὶ δύναμις ἐν τῇ σαφηνείᾳ οὖσα δηλοῖ τῇ Ὁμηρικῇ ἐναργείᾳ διαμιλλωμένη. Ταύτης γὰρ ἕνεκα πλεῖστα μὲν τῇ εἰρομένῃ χρῆται λέξει καὶ τοὺς ὑστάτους τῶν διαλόγων γρά-

φων, ὥσπερ καὶ τὴν Πολιτείαγ, οὐδὲν παθὼν τὴν λέξιν ὑπὸ τῆς ῥητορικῆς ἐν ἀκμῇ τότε ἐν Ἀθήναις οὔσης. Οὕτω γὰρ ἂν μάλιστα θεραπεύοι πρὸς ὃ πεφυκὼς καὶ ὁρμῶν ἅμα ἐτύγχανεν, πρὸς τὸ καθ' ἕκαστον διαιρεῖσθαι ἃ ἐνθυμηθείη καὶ εἰς τὰ ἔσχατα αὐτῶν κατιέναι διαλύων και ἐκφράζων καὶ οὐδὲν ἐλλείπων ἀκριβείας τε ἅμα καὶ περιφανείας. Ἐπεὶ σκεψάσθω μοι πᾶς ἀνὴρ φιλόλογος εἰ οἷόν τε ἦν λόγῳ μὴ εἰρομένῳ, ἀλλὰ ῥητορικῶς ἐσκευασμένῳ καὶ οἵῳ τῷ τῶν Νόμων λεχθῆναι ὥσπερ ἐλέχθη τὰ ἐν Πολιτείᾳ (488 B) ἐκεῖνα τὰ ἐν εἰκόνος μοίρᾳ γεγραμμένα ἀπὸ τοῦ τοὺς δὲ ναύτας στασιάζοντας μέχρι τοῦ εὐωχουμένους πλεῖν ὡς τὸ εἰκὸς τοὺς τοιούτους.

Οὐ μὴν ἀλλὰ καὶ περὶ νοητῶν πραγμάτων τὴν σαφήνειαν ὁμοίως διώκων καὶ θηρῶν ὁμοίᾳ τῇ λέξει χρώμενος εὑρίσκεται ὁ Πλάτων, ἀλλ' οὐχ οἵᾳ ὁ τοὺς Νόμους συνθείς, καθάπερ ἐν Φαίδωνι περὶ τοῦ δεῖν θανατᾶν τοὺς εἰλικρινεῖς φιλοσόφους τὸν λόγον ποιούμενος (67 E).

«Ε' γὰρ διαβέβληνται πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ' αὐτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν ἔχειν. τούτου δε γιγνομένου εἰ φοβοῖντο καὶ ἀγανακτοῖεν, οὐ πολλὴ ἂν ἀλογία εἴη εἰ μὴ ἄσμενοι ἐκεῖσε ἴοιεν, οἵ ἀφικομένοις ἐλπίς ἐστιν οὗ διὰ βίου ἤρων τυχεῖν· ἤρων δὲ φρονήσεως· ᾧ τε διαβέβληνται, τούτου ἀπηλλάχθαι ξυνόντος αὐτοῦ; ἢ ἀνθρωπίνων μὲν παιδικῶν καὶ γυναικῶν καὶ υἱέων ἀποθανόντων, πολλοὶ δὴ ἑκόντες ἠθέλησαν εἰς Ἅιδου ἐλθεῖν ὑπὸ ταύτης ἀγόμενοι τῆς ἐλπίδος τῆς ὄψεσθαί τε ἐκεῖ οὗ ἐπεθύμουν καὶ ξυνέσεσθαι· φρονήσεως δὲ ἄρα τις τῷ ὄντι ἐρῶν καὶ λαβὼν σφόδρα τὴν αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθι ἐντεύξεσθαι αὐτῇ ἀξίως λόγου ἢ ἐν Ἅιδου, ἀγανακτήσει τε ἀποθνήσκων καὶ οὐκ ἄσμενος εἶσιν αὐτόσε»;

Ἐὰν οὖν ἐπισκεψώμεθα καὶ θεωρήσωμεν τὸν λόγον τοῦτον τὸν ἐν Φαίδωνι, ὅμοιον ὄντα τῇ λέξει τῷ περὶ ναυκλήρου ἐν Πολιτείᾳ, πάσας τὰς ἐν αὐτῷ ῥητορικὰς περιόδους ἑπτακαίδεκα οὔσας ἐφεξῆς ὁρῶμεν τεθειμένας κατ' ἀκριβῆ λέξιν εἰρομένην, οὐδεμίαν δ' ὡς ἔπος εἰπεῖν συνεστραμμένην τε καὶ κυκλικήν. Ἐπεὶ τό τε ῥῆμα οὗ διὰ βίου ἤρων τὸ μετὰ τὸ ἐλπίς ἐστιν καὶ τὸ οὗ ἐπεθύμουν τὸ μετὰ τὸ ἐκεῖ οὔτε περίοδον οὔτε κῶλον ἐμβεβλημένον ἑτέρῳ ἀπεργάζεται, ἀλλὰ δῆλά ἐστι ἀντὶ ὀνομάτων ἐν τῷ λόγῳ κείμενα. Ἡ δὲ περὶ τὴν λέξιν

ἰδία αὕτη τοῦ φιλοσόφου σπουδὴ καὶ ἐπιτήδευσις ἐξ οὐδενὸς ἄλλου τελεῖται καὶ περαίνεται ἢ ὅτι ἀεὶ τὸ σαφὲς μετιέναι καὶ διώκειν βούλεται χαίρειν εἰπὼν πολλὰ τῷ τε ῥητορικῷ τῶν ὀνομάτων τόνῳ καὶ τοῖς ἀκαίροις καὶ ἀχάρισι τῆς λέξεως σχήμασι καὶ κόσμοις, ὧν ἔμπλεων ὄντα τὸν τῶν Νόμων αἰσθανόμεθα λόγον.

Ταῦτα τό γε νῦν εἶναι καὶ τὰ ἐκ τοῦ τρίτου τῶν Πλάτωνος Νόμων βιβλίου τεκμήρια, ὅτι ἀλλότριοι τυγχάνουσιν ὄντες, οὐδὲ Πλάτωνος. Ἔστι δὲ τούτων τὰ μέν τινα οἷα καὶ τὰ ἐκ τοῦ πρώτου καὶ τοῦ δευτέρου βιβλίου, περὶ ὧν ἑκατέρων ἰδίᾳ τε ἐπραγματευσάμεθα καὶ πρὸς τοὺς μὴ δεξαμένους Ἄππελτόν τε καὶ Ῥιττῆρον ἀπελογησάμεθα, τὰ δὲ ἴδια τε καὶ διάφορα οὐ σμικρὰν ἴσως ἕξοντα ῥοπὴν εἰς τὸ κρῖναι τὸ τοῦ λόγου ἡμῖν τούτου βούλημα.

Ἐν Ἀθήναις κατὰ Φεβρουάριον τοῦ 1901.

ΜΙΛΤΙΑΔΗΣ Ι. ΠΑΝΤΑΖΗΣ.

ΣΧΟΛΙΑ ΕΙΣ ΗΛΕΚΤΡΑΝ

Στ. 634. Πάγκαρπα· ἐπίπαν ὄσπρια ἔθυον τοῖς θεοῖς. Τό: ἐπίπαν δὲν κεῖται ἐνταῦθα καλῶς· δὲν ἔθυον καθόλου ὄσπρια, ἔθυον καὶ ἄλλα συνηθέστερον· ὅθεν γραπτέον: ἐπεὶ πάντα ὄσπρια ἔθυον τοῖς θεοῖς, ὅπερ συνᾴδει καὶ πρὸς τὴν ἑρμηνευομένην λέξιν τοῦ Σοφοκλέους: πάγκαρπα, ἤτοι πάντας καρπούς, πάντα ὄσπρια. Ἐνταῦθα παρατίθεται καὶ χωρίον τι τοῦ Ἡσυχίου: θύματα· σφάγια, ἀπαρχαί, ἱερεῖα, ὄργια· ὃ διορθωτέον: θύματα· σφάγια, ἱερεῖα. — Ἀπαρχαί· ὄσπρια.

Ε. Τ. Κουσης

ΟΡΘΟΓΡΑΦΙΚΑ ΖΗΤΗΜΑΤΑ

Ἐν προσφάτῳ τινὶ τόμῳ (ΙΒ' σελ. 383 κεξ.) τῆς Ἀθηνᾶς ὁ κ. Γ. Χατζιδάκις ἐπανερχόμενος εἰς τὰ τῆς δημώδους ὀρθογραφίας τῶν γραμματικῶν τύπων εἶναι (=ἐστὶν) ἢ εἶνε, θέλω γράψει ἢ γράψῃ, θέλω καὶ ἔχω εἰπεῖ ἢ εἰπῇ, θέλω (ἔχω) γραφῆ ἢ γραφῇ,— ἔτι δ' ὁ ὄφις ἢ ὄφης, ἡ πῆχυ ἢ πήχη, ἔχεται τῆς γνώμης ὅτι μόνη ὀρθὴ γραφή ἐστιν ἡ εἶναι, θέλω (ἔχω) γράψει, εἰπεῖ, θέλω (ἔχω) γραφῆ,— ἔτι δ' ὁ ὄφις, ἡ πῆχυ. Ταῦτα λέγων προστίθησιν ὅτι πρὸς τὸ πρῶτον μέρος τῆς διδασκαλίας ταύτης (εἶναι, θέλω γράψει γραφῆ) οὐδεμία ἀντίρρησις προηνέχθη.

Ἀνακινῶν ἐνταῦθα τὸ ὀρθογραφικὸν τοῦτο ζήτημα οὐδαμῶς ἐπινοῶ νὰ διαμφισβητήσω τὸ μέγα κῦρος ἀνδρὸς οὕτω πολυμαθοῦς καὶ βαθυγνώμονος, δὸς δ' εἰπεῖν καὶ μεγατίμου φίλου. Ἐπιθυμῶ μόνον νὰ ἐπιστήσω τὴν προσοχὴν αὐτοῦ ἐπὶ ἀντιρρήσεως γενομένης οὐ μόνον πρὸς τὸ δεύτερον μέρος τῆς διδασκαλίας αὐτοῦ (ὁ ὄφις, ἡ πῆχυ) ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ πρῶτον (εἶναι, θέλω ἢ ἔχω γράψει ἢ γραφῆ). Ἐν τῇ ἐν ἔτει 1897 Ἀγγλιστὶ ἐκδοθείσῃ ἐκτενεῖ γραμματικῇ μου (Ἱστορικὴ Γραμματικὴ τῆς Ἑλληνικῆς γλώσσης ἀπὸ τῶν ἀρχαίων μέχρι τῶν καθ' ἡμᾶς χρόνων, ἐν Λονδίνῳ 1897) ἀμφότεραι αἱ ἀνωτέρω γνῶμαι ἐξετάζονται, ἀμφότεραι δὲ κρίνονται ἧττον ὀρθαί, προτιμητέας νομιζομένης τῆς γραφῆς εἶνε, θέλω ἢ ἔχω γράψῃ, εἰπῇ, θέλω ἢ ἔχω γραφῇ, ἔτι δ' ὁ ὄφης, ἡ πήχη.

1. εἶνε ἢ εἶναι;

Καὶ περὶ μὲν τοῦ κοινολεκτουμένου τύπου εἶνε ἢ εἶναι, ταῦτα φέρονται ἐν σελ. 250 τῆς εἰρημένης Ἱστορικῆς Γραμματικῆς μου.

«Ἡ γραφὴ ἶνε ἡ ὑπό τινων λογίων προτεινομένη ὡς δῆθεν προερχομένη ἐξ ἀντιμεταθέσεως τῶν συλλαβῶν τοῦ ἀρχαίου ἔνι, στερεῖται πάσης ἱστορικῆς καὶ ἐπιστημονικῆς βάσεως. Ἐπ' ἴσης ἀσύστατός ἐστιν ἡ γραφὴ εἶναι καίτοι κοινῇ ἀρέσκουσα (ἴσως διὰ τὴν σύμπτωσιν αὐτῆς πρὸς τὴν ἀρχαίαν ἀπαρέμφατον εἶναι), τανῦν δὲ κυρουμένη ὑπὸ

τοῦ κ. Γ. Χατζιδάκι (Einleitung 207), ὅστις διατείνεται ὅτι τὸ ληκτικὸν -ε (ἤγουν -αι) προῆλθεν ἐκ τῆς ἐπιδράσεως τῶν δύο ἄλλων καταλήξεων εἶμ-αι καὶ εἶσ-αι. Ἀλλ' εἶνε πασίγνωστον ὅτι ἡ Ἑλληνικὴ γλῶσσα οὐδεμίαν γινώσκει παθητικὴν ἢ μέσην κατάληξιν -αι, γινώσκει δὲ μόνον τὰς πλήρεις ἤτοι ἀπὸ συμφώνου ἀρχομένας καταλήξεις -Μαι -Σαι -Ται. Ἐὰν δ' αἱ καταλήξεις αὗται εἶχον ἀληθῶς ἐπίδρασῃ ἐπὶ τὸν μετασχηματισμὸν τοῦ ἔνι, τὸ ἀποτέλεσμα θὰ ἦτο *ἔται καὶ *εἶται, οὐχὶ δὲ ἔΝαι καὶ εἶΝαι. Πολλῷ ἄρα πιθανώτερον εἶνε ὅτι τοῦ εἶνε τὸ ληκτικὸν καὶ ἄτονον, κατ' ἀκολουθίαν δ' ἀσθενὲς -ε ἐξωμοιώθη πρὸς τὸ προηγούμενον θεματικὸν καὶ ἔντονον ἔ-, [πρβ. τέσσερα], οὕτω δὲ παρήχθη ὁ μεσαίων τύπος ἔνε, ὁ καὶ νῦν ἔτι σῳζόμενος ἔν τισι διαλέκτοις οἷον Κρήτης, Κύπρου, Πόντου, Κάτω Ἰταλίας κλπ. (1). Ὡς πρὸς δὲ τὴν τροπὴν τῆς θεματικῆς συλλαβῆς ἔ-νε εἰς εἶ-νε, αὕτη προφανῶς προῆλθεν ἐκ τῆς ἐπιδράσεως τοῦ (τονουμένου) εἶ- τῶν λοιπῶν προσώπων· εἶ-μαι, εἶ-σαι, εἴ-μεθα, εἶ-σθε». Πρβλ. καὶ τὰ παλαιότερα ἐνεστωτικὰ ἕστηκΕ, γέγονΕ, εἴωθΕ, πέποιθΕ, ἔγνωκΕ, κτλ.

Ἐνταῦθα συνηγορῶν τις ὑπὲρ τῆς γραφῆς εἶναι (ἀντὶ εἶνε = ἐστίν) ἠδύνατο νὰ ἀντισχυρισθῇ ὅτι καὶ ὁ παρ' ἡμῖν παρατατικὸς εἰς -α (οἷον ἔλυα, ἐδούλευα) ἐσχηματίσθη κατὰ τὸν σιγματικὸν ἢ πρῶτον λεγόμενον ἀόριστον εἰς -σα (οἷον ἔλυσα, ἐδούλευσα), καὶ ὅτι παρέλαβε μόνον τὸ τελικὸν -α, οὐχὶ δὲ πλήρη τὴν κατάληξιν σα. Τοιοῦτο ἐπιχείρημα θὰ ἦτο ἄστοχον, διότι ἐκτὸς τοῦ ὅτι κατὰ τοὺς νεωτέρους γλωσσολόγους (K. Brugmann Gr. Gram.[3] § 378), ὁ παρατατικὸς καὶ ὁ ἀόριστος ἀνέκαθεν συνεδέοντο στενῶς κατὰ τύπον, διέφερον δὲ μόνον συντακτικῶς (οἷον ἔφην ἔγραφον ἔγλυφον ἔγεμον-ἔστην ἔτραπον ἔφυγον-ἐγενόμην), εἶνε γνωστὸν ὅτι ὁ λεγόμενος πρῶτος ἀόριστος οὔτε ἀρχαιότερος εἶνε τοῦ δευτέρου οὔτε ἔληγεν ἀρχῆθεν εἰς -σα (εἰ καὶ οὕτω διδάσκεται ἐν τῇ γραμματικῇ τοῦ σχολείου), ἀλλ' εἰς ἁπλοῦν -α (Brugmann[3] § 373 ἑπ.). Ὅπως δήποτε γνωστό-

(1) Τὸ φαινόμενον τοῦτο ἑρμηνεύεται καὶ κατ' ἀναλογίαν τῶν ἀπὸ τοῦ μεσαίωνος κοινολεκτουμένων ἤμουνΕ, ἤσουνΕ (οἷον Πουλλολ. 441), ἦτο-νΕ, ἤσανΕ ἢ ἤτανΕ, εἶπανΕ, θέλουνΕ, [θέλει-νΕ, φοβοῦμαι-νΕ], πατούμενΕ. ἤτοι ἔνι ἔν' ἔνΕ, — ἔνθα τό τε παραγωγικὸν καὶ παράσιτον -ε προσλαμβάνεται οἱονεὶ προστατευτικὸν τοῦ ληκτικοῦ -ν. Ὅρα ἐμῆς Γραμμ. App. III. 28-30.

τατον εἶνε ὅτι πολλῷ πρὸ τῆς ἐμφανίσεως τοῦ καθ' ἡμᾶς δημώδους παρατατικοῦ εἰς -α ἀμφότεροι οἱ ἀόριστοι εἶχον ἀφομοιωθέντες εἰς τὸν ἁπλοῦν τύπον -α (οὐχὶ -σα!), συμβαλόντος ἢ μᾶλλον ἡγησαμένου εἰς τὴν ἀφομοίωσιν ταύτην τοῦ συγγενεύοντος παρακειμένου -κ]α (ὅρα ἐμῆς Γραμμ. §§ 186-193), οἷον «ἔλυσ-α ἔτριψ-α ἔσφαξ-α ἔκριν-α ἔπλυν-α ἔσυρ-α ἔστειλ-α ἔδωκ-α ἔθηκ-α ἤνεγκ-α ἔπεσ-α εἶδ-α ἔπι-α ἔφερ-α εὗρ-α ἔφαγ-α» κλπ. κλπ., ἅτινα πάντα ἀνάγονται εἰς χρόνους ἀρχαίους καὶ προβυζαντιακούς. Ἐκ τούτου ἄρα τοῦ καθολικοῦ καὶ ὁμοιομόρφου ἀορίστου εἰς -α (οὐχὶ δὲ τοῦ εἰς -σα) ἐσχηματίσθη ὕστερον ὁ κοινολεκτούμενος παρατατικὸς εἰς -α οἷον ἤλπιζα ἔχρηζα ἔλεγα κττ., προσλαβὼν πλήρη τὴν μόνιμον καὶ σταθερὰν κατάληξιν -α.

Ἐπαναλαμβάνω λοιπὸν καὶ αὖθις ὅτι ἀφοῦ ἡ γλῶσσα ἡμῶν γινώσκει μόνον τὰς καταλήξεις -μαι -σαι -ται, οὐχὶ δὲ καὶ -μαι,-σαι, -ναι, φρονῶ ὅτι ἡ γραφὴ εἶναι ἔχει ἧττον ὀρθῶς ἢ ἡ εἶνε.

2. Ὁ δρῦς, Βασίλεις, Παππαδάκις, ἡ πῆχυ, ἢ ὁ δρῆς, Βασίλης, Παππαδάκης, ἡ πήχη;

Ἀλλὰ καὶ τῶν ὀνοματικῶν τύπων τῆς δημώδους γλώσσης ἡ γραφὴ ὁ δρῦς, ὁ ὄφις, Παππαδάκις, Χατζιδάκις (εἰ μὴ Χατζηδάκις), Σταυράκις (1), ἡ πῆχυ, φαίνεταί μοι ἀλλοτρία τῆς καθ' ἡμᾶς δημώδους φωνῆς, τοῦτο δὲ ὡσαύτως ἐξετάζεται ἐν σελίσιν 122 καὶ 546 τῆς εἰρημένης γραμματικῆς μου. Δέν μοι φαίνεται πείθουσα ἡ δισχύρις ὅτι «τὸ κακὸν τοῦτο (τῆς γραφῆς ὁ δρῆς, ὄφης, Παππαδάκης, Σταυράκης, ἡ πήχη) καθίσταται ἔτι μεῖζον ἕνεκα τῆς ἐπισκιάσεως καὶ πολλάκις πλήρους ἐξαφανίσεως τοῦ ἐτύμου». Τὸ κακὸν τοῦτο δὲν εἶνε δεινότερον τῆς ἀλλοκότου γραφῆς ὁ Γληγόρις, Βασίλεις, μαυρογένεις, κοκκινογένεις, ὁ προεστώς — τοῦ Γληγόρι, τοῦ Χατζιδάκι, τοῦ Γιάνναρι, τοῦ Βασίλει, τοῦ μαυρογένει, τοῦ κοκκινογένει, τοῦ προεστοῦ, ἥτις ἀναγκαίως θὰ συνεπήγετο καὶ τὴν ἔτι ἀλλοκοτωτέραν τὸ σαββάτῳ, ἡ τετράδι, ἅτινα ἀναμφηρίστως προέρχονται ἐκ τῆς ἀρχαίας ἐπιρρηματικῆς ἢ χρονικῆς δοτικῆς τῷ σαββάτῳ, τῇ τετράδι. Μὴ καὶ οἱ ἀρχαῖοι δὲν ἔγραφον ὁ λαγός, ὀρφός, κάλος, ὑπόχρεος;

(1) Ἐκτὸς ἐὰν ὑπεραττικίζοντες κλίνωμεν αὐτὰ τριτοκλίτως, οἷον Παππαδάκεως, Χατζιδάκεως, Γιαννάρεως κατὰ τὰ παλαιότερα Λάσκαρις Λασκάρεως, Δάρδαρις Δαρδάρεως, Βούλγαρις Βουλγάρεως.

(πρβ. καὶ πόλεος φύσεος ὕβρεος παρὰ τοῖς δραματικοῖς). Οἱ διατεινόμενοι ὅτι ἐν τοῖς λαγὸς κάλος ὀρφὸς κττ. ἡ διὰ τοῦ ο γραφὴ προήρχετο ἐκ τῆς κατὰ τὴν ἐκφώνησιν διαφορᾶς τοῦ ο καὶ ω, καὶ τοῦτο ἐν μεταγενεστέροις μάλιστα χρόνοις, ἀπερείδονται οὐχὶ εἰς πράγματα, ἀλλ' εἰς Ἐρασμικὰς θεωρίας (πρβ. Kühner-Blass 407 καὶ 496). Ἀλλὰ ταύτας κἀγὼ ἐν ἄλλοις διὰ μακρῶν ἤλεγξα ἐσφαλμένας (§§ 28-29), οὐδ' ἔχονται πλέον αὐτῶν ἐρρωμένως οἱ σοβαρώτεροι καὶ κριτικώτεροι αὐτῶν τῶν Ἐρασμικῶν ἅτε ἀδυνατοῦντες νὰ ἑρμηνεύσωσι τοιαῦτα μαρτύρια ἐπιγραφῶν καὶ παπύρων οἷα τὰ τὸν (=τῶν) Σοκράτης, παραγγελλέτοσαν, ὀρθὸς (=ὀρθῶς), ὅπος, Λεωντίς, τὸ μνειμεῖων, τὸν ἔγγονων, Θεοδωσία, Διώνυσος, Ἀλκίμαχως, Μακεδώνος, διαδώχῳ, Γνόμη, ὁ μεταλαβόν, ἔχωντος, ἀπέδοκα, δομάτων, ψομὸν πολοῦσι, νεότερον, καὶ πάμπολλα ἄλλα, πάντα δὲ δοκίμων καὶ προρωμαϊκῶν χρόνων (Γραμμ. § 26, 7). Ἐπ' ἴσης ἀνίσχυρος φαίνεταί μοι ὁ τοῦ κ. Χ. λόγος ὅτι «καὶ οἱ μεταγενέστεροι Ἕλληνες παραλαβόντες παρὰ τῶν Ῥωμαίων οὐκ ὀλίγα ὀνόματα εἰς -is γράφουσιν αὐτὰ ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ -ι καὶ ὀλίγιστα μόνον διὰ τοῦ -η». Διότι ὁ μὲν τύπος -ις (οἷον κερεάλις, μαρτιάλις, ἀσηκρῆτις κλπ.) εἶνε ἁπλῆ μεταγραφὴ τοῦ Λατινικοῦ -is ὑπὸ λογίων Λατινομαθῶν καὶ ἐτυμολογούντων ἢ λατινιζόντων, ἐν ᾧ ὁ ἐξ ἴσου κοινὸς τύπος -ης (οἷον ἀρσηνάλης, κερεάλης, μαρτιάλης, προβηνκιάλης, βιτάλης, κουρούλης, ἐκουέστρης κλπ.) παρίσταται ἐν τῇ τῇ κοινῇ τῶν Ἑλλήνων συνειδήσει ὡς Ἑλληνοφανὴς ἤγουν ὡς ὁμαλὸς Ἑλληνικὸς τύπος τῆς πρώτης κλίσεως. Καὶ ἐνταῦθα δηλαδὴ ἔχομεν πλήρη κατάληξιν -ις (οὐχὶ -ς!) ἥτις παρελήφθη εἰς τὴν Ἑλληνικὴν γλῶσσαν ἅτε ταυτισθεῖσα ὑπὸ τοῦ λαοῦ πρὸς τὴν τότε ὁμόφωνον κατάληξιν -ης τῆς πρώτης κλίσεως. Λέγω ὅτι τὸ -ης τότε ὡμοφώνει πρὸς τὸ Λατινικὸν -*is*, διότι, ἐπεκτείνας τὰς μελέτας μου πέραν τῶν δημοσιευμάτων τοῦ Blass καὶ Meisterhans, ἐσχημάτισα τὴν σταθερὰν πεποίθησιν ὅτι οὐδὲν ἀλλ' ἢ πλήρης ὁμοφωνία τοῦ η καὶ ι ἑρμηνεύει τὰ πολυάριθμα τῶν τότε ἐπιγραφῶν καὶ παπύρων ὀρθογραφικὰ σφάλματα, οἷα τὰ Καμηρῆς καὶ Καμιρῆς, Ἀπίμαντος, τὴν ὕλιν, γειτηπόδισμα, ὁ Ἡρακλεώτις, Ἐπικρατὴς Σιδωνία, φιμί, ψίφισμα, Δημίτριος, Μένηπος, ἐπή (=ἐπί), Αὐριλία, δινάρια (καὶ δεινάρια), Ῥαβήριος, Καλουήσιος (Calvisius), Τηβέριος, Σαλή-

νιος, ἔθικεν, Διομίδης, τῦ 'Αρπαγάθι (=-θῃ), κλιρουχία, 'Αντιφῶν, Χαρήσιος, 'Αραβηκός—καὶ πάντα τὰ ἄλλα ὧν βρίθουσιν αἱ ἐπιγραφαὶ καὶ οἱ πάπυροι τῶν τριῶν πρὸ Χριστοῦ αἰώνων, ἵνα παραλίπω τὰ μετὰ ταῦτα (Πρβ. Γραμμ. §§ 37-41). Οὐδεμία ἄλλη ἑρμηνεία ἐγχωρεῖ ἐνταῦθα ἢ ὅτι ἡ Ἑλληνικὴ γλῶσσα παρέλαβε καὶ Λατινικὰ ὀνόματα εἰς *-is* καὶ κατ' ἀναλογίαν παρεσχημάτισεν αὐτὰ εἰς -ης διὰ τὴν ὁμοφωνίαν τοῦ *-is* καὶ -ης(1). Ἄλλαις λέξεσιν ἂν μὴ ἡ Ἑλληνικὴ γλῶσσα διέσῳζε πρωτόκλιτα ὀνόματα εἰς -ης καὶ -η (οἷον ὁ ναύτης, τεχνίτης, δεσπότης, κριτής, Ἰάννης, πατριάρχης — ἡ τέχνη, ψυχή, μεγάλη, κεφαλή), ἀμφιβάλλω σφόδρα ἂν θὰ περιεσῴζοντο ἔτι καὶ τὰ ὀνόματα ὁ (δρis) δρῆς, (ὄφis) ὄφης, ἡ (χάρις) χάρη, (ῥάχις) ῥάχη, (ὄψις) ὄψη, (ὁ πῆχυς) ἡ πήχη. Ἀντ' αὐτῶν εἶμαι βέβαιος ὅτι ἡ δημώδης λαλιὰ θὰ εἶχεν ὑποκαταστήσῃ ἄλλον τινὰ τύπον ἢ ἐξεύρῃ ἄλλας λεξεις. Ἀλλὰ τὴν δύναμιν καὶ ἐπίδρασιν τῆς ἀναλογίας μαρτυρεῖ σαφέστατα αὐτὸ τὸ παράδειγμα τοῦ ὁ πῆχυς, ἡ πήχη. Διότι οὐδεμία ἀμφιβολία ὑπάρχει ὅτι τὸ ἀρσενικὸν ὁ πῆχυς μετήλλαξε γένος καὶ κλίσιν κατὰ τὸ παλάμη, σ]πιθαμή, ὀργυιὰ (ὅρα Γραμμ. § 249 ἑπ.).

3. Θέλω γράψει γραφῆ ἢ θέλω γράψῃ γραφῇ;

Τὸ ζήτημα τῆς ὀρθογραφίας «θέλω ἢ ἔχω γράψει ἢ γράψῃ, θέλω (ἔχω) εἰπεῖ ἢ εἰπῇ, θέλω (ἔχω) γραφεῖ ἢ γραφῇ» εἶνε ἔτι σπουδαιότερον ἅτε ἀφορῶν εἰς τὴν βάσιν τοῦ καθ' ἡμᾶς σχηματισμοῦ τοῦ μέλλοντος καὶ παρακειμένου καὶ ὑπερσυντελίκου, οὕτω δ' εἶνε ἀναπόσπαστον ἀπὸ τοῦ ζητήματος τῆς ἱστορίας τῆς ἀπαρεμφάτου. Ὁ κ. Χατζιδάκις ἑπόμενος τῇ ἀρχαιοτέρᾳ γνώμῃ φρονεῖ ὅτι ἐν τοῖς ἀνωτέρω περιφραστικοῖς χρόνοις οἱ ῥηματικοὶ τύποι (θέλω ἢ ἔχω)

(1) Καθ' ἃ καὶ ἐν τῇ εἰρημένῃ γραμματικῇ μου ἑρμηνεύεται (§§ 298-303), τὰ ἀρχαῖα οὐδέτερα εἰς -ι, οἷον μέλι, κοῦκκι, στῖμι, κιννάβαρι, πέπερι, σίναπι κλπ., προσλαβόντα τὸ τότε εὐχρηστότατον τελικὸν -ν ἐγένοντο μέλιν, κοῦκκιν, στῖμιν κλπ., ταῦτα δὲ ἐφελκύσαντα τὰ ἄλλα οὐδέτερα εἰς -ιον (οἷον ἡμιωβέλιον, χαριστήριον, μαρτύριον, στάδιον), παρήγαγον τὸν συγκεχομμένον τύπον -ιν (ἡμιωβέλιν, χαριστῆριν μαρτύριν, στάδιν). Τούτου γενομένου ἐπηκολούθησαν κατ' ἀναλογίαν καὶ τὰ λοιπὰ δευτερόκλιτα ἀρσενικὰ εἰς -ιος καὶ οὕτω παρήχθη ὁ τύπος (-ιος) -ις, ὅστις τοσούτῳ μᾶλλον εὐπρόσδεκτος καὶ ἀρεστὸς ἦτο ὅσον ὡμοφώνει πρὸς τὸν συνήθη τῆς πρώτης κλίσεως τύπον εἰς -ης οἷον ναύτης, ἐργάτης, Ἰωάννης, κλπ.

γράψι εἰπῖ γραφῖ ἐκπροσωποῦσι λείψανα τῆς παλαιᾶς ἀπαρεμφάτου γράψειν εἰπεῖν γραφῆναι. Ἀλλ' ὡς γνωστὸν ὁ περιφραστικὸς οὗτος διὰ τοῦ γράψί καὶ γραφί σχηματισμὸς οὔτε παλαιὸς οὔτε γνήσιος δημώδης εἶνε. Λέγω οὔτε παλαιὸς οὔτε γνήσιος δημώδης καθ' ὅσον ὁ μὲν μέλλων τῆς Βυζαντιακῆς καὶ μεσαιώνος λαλιᾶς περιεφράζετο διὰ τοῦ ἁπλοῦ (ἵνα) νὰ καὶ τῆς ὑποτακτικῆς, ὁ δὲ παρακείμενος καὶ ὑπερσυντέλικος διὰ τοῦ ἔχω ἢ εἶχον (εἶχα) καὶ τῆς μετοχῆς γράψας ἢ γε]γραμμένον, οἷον ἔχω γράψας τὰ λόγια ἢ ἔχω γε]γραμμένα τὰ λόγια. Ὁ τύπος θέλω ἢ ἔχω γράψί ἢ γραφί ἐμφανίζεται τὸ πρῶτον καθ' οὓς χρόνους ἡ ἀπαρέμφατος εἶχεν ἤδη ἀπὸ πολλοῦ ἐκλιποῦσα ἐκ τῆς κοινῆς λαλιᾶς, οὕτω δ' οἱ τύποι γράψί καὶ γραφί δὲν εἶνε δυνατὸν νὰ προέρχωνται ἐκ τῶν γράψειν καὶ γραφῆναι, κατ' ἀποκοπὴν τοῦ -ν καὶ -ναι, καθ' ὅσον τοιαύτης ἀποκοπῆς παραδείματα ἡ γλῶσσα δὲν ἔχει. Τὰ ἀπὸ τοῦ μεσαίωνος σποράδην ἀπαντῶντα παραδείγματα ἀπαρεμφατικῆς χρήσεως (οἷον ἡ ἔχω ἢ θέλω γράψειν ἢ γραφῆναι) ἀποδοτέα εἰς τὸν τοῦ ἀρχαΐζειν πατροπαράδοτον ζῆλον τῶν λογίων, οὐδαμῶς δ' ἀποδεικνύουσιν ἀπαρεμφατικὴν χρῆσιν ἐν τῇ ἀληθῶς δημώδει καὶ ἀπαιδεύτῳ λαλιᾷ. Ἐν πᾶσι τούτοις τοῖς τύποις (θέλω ἢ ἔχω) γράφιν γράψιν, φαγῖν γραφῖν τὸ τελικὸν -ν δὲν εἶνε ἀπαρεμφατικὸν ἀλλ' ἁπλῶς εὐφωνικὸν καὶ ληκτικὸν πάσης σχεδὸν λέξεως. Ὡς γνωστόν, ἀπὸ τῶν πρώτων Χριστιανικῶν χρόνων, ἀλλ' ἰδίᾳ ἐπὶ τῶν μέσων καὶ νεωτέρων αἰώνων, παρατηρεῖται τὸ καὶ νῦν ἔτι σῳζόμενον παρὰ Κυπρίοις καὶ Ῥοδίοις καὶ Χίοις καὶ Ποντίοις καὶ ἄλλοις φαινόμενον καθ' ὃ πᾶσα σχεδὸν φωνηεντόληκτος λέξις προσελάμβανεν εὐφωνικὸν -ν, οἷον ἦΝ (200 300 μ.Χ.), παρεσχέθηΝ (=-θη), ἐγένετοΝ, ἦτοΝ, ἱστορήθηΝ ὁ ναός, κατέβηΝ (=-βη), ἐφόρειΝ (=-ρει), ηὐξήθηΝ (=-θη), ἐβαρήθηΝ (=-θη), ἔχειΝ (=-χει), πρᾶγμαΝ, μνῆμαΝ, μήτεΝ, ἔπειταΝ, ἔνεΝ καὶ εἶνεΝ, πότεΝ, μὴΝ θωρῇς, θέλει γενῇΝ, νὰ τό χεν πολεμᾷΝ καὶ νά 'χαν κάμνῃΝ, μὴ στραφῇΝ, φωτίζονταιΝ, μάχωνταιΝ, κυριεύονταιΝ κλπ. κλπ. Πάντα ταῦτα καὶ ἄλλα πάμπολλα κεχρονολογημένα παραδείγματα ἀναγόμενα εἰς τοὺς Βυζαντιακοὺς καὶ μεσαίωνας χρόνους εὑρίσκει ὁ ἀναγνώστης ἐν τῇ εἰρημένῃ Ἱστορικῇ Γραμματικῇ μου (σελ. 547-8 καὶ 568-580). Ὅτι δ' ἐν πᾶσι τούτοις οὐδεμία ἀπαρέμφατος ἐγκρύπτεται καταφαίνεται καὶ ἐκ τοῦ τονισμοῦ τοιούτων

παραδειγμάτων οἷα τὰ θέλω ἢ ἔχω λάβι μάθι τύχι, ἐν οἷς ἡ ἀπαρέμφατος περιεσπᾶτο, ἤγουν λαβεῖν, μαθεῖν, τυχεῖν. Καὶ ναὶ μὲν λέγομεν ἔτι (θέλω ἢ ἔχω) εἰπί εὑρί ἰδί, ἀλλὰ τὰ τρία ταῦτα παραδείγματα οὐδὲν ἀνταποδεικνύουσιν ἅτε οὕτω σχηματιζόμενα ἐπὶ τὸ λογιώτερον ἀντὶ τῶν γνησίων δημωδῶν 'πί βρί ἴ]δί ἅτινα ὀφείλονται εἰς τὴν ἐπίδρασιν τῆς προστακτικῆς εἰπέ εὑρέ ἰδέ.

4. Τὸ φαγεῖ ἢ τὸ φαγί; τὸ ἰδεῖ ἢ τὸ ἰδῇ;

Καθ' ὅλου εἰπεῖν ἡ καθ' ἡμᾶς κοινὴ καὶ ἀπαίδευτος λαλιὰ οὐδὲν ἴχνος σῴζει τῆς παλαιᾶς ἀπαρεμφάτου, κα' δὴ οὔτε τῆς ῥηματικῆς (φιλῶ λέγειν) οὔτε τῆς ὀνοματικῆς (φιλῶ τὸ λέγειν). Τὰ ὀλίγα παραδείγματα ἅτινα προσάγονται ὡς γνήσια δῆθεν λείψανα τῆς ἀπαρεμφάτου, οἷον τὸ φαγεῖ, τὸ φιλεῖ, τὸ πρεπεῖ, τὸ ἔχει, τὸ ἰδεῖ, τὸ πιεῖ, τὸ φανῆ (-εῖ), τὸ λύσει καὶ τὸ δέσει εἶνε παντάπασιν ἀλλότρια τῆς ἀρχαίας ἀπαρεμφάτου. Διότι τὰ μὲν ἐξ αὐτῶν οὐδὲν ἄλλο εἰσὶν ἢ οὐσιαστικὰ ὀνόματα, τὰ δὲ καθαρὰ καὶ γνήσια ῥήματα κεκρυσταλλωμενα καὶ ἄκλιτα. Λόγου χάριν τὸ φαγεῖ εἶνε αὐτὸ τὸ παλαιὸν φαγίον (οἷον 'Αποφθ. Πατέρων 408 B ὅσα ἐποιήσατε φαγία· ἔτι δὲ Κύριλλ. Σκυθ. B. A. 283 C), οὗ καὶ προσφάγιον (κανονικῶς προπαροξυτονούμενον) εὕρηται ἐν τῇ Καινῇ Διαθήκῃ ('Ιω. 21, 5), ἔτι δ' ἐν παπύροις, οἷον Grenfell καὶ Hunt i. 77, 21 (3-4 ἑκατ. μ.Χ.). Γραπτέον ἄρα τὸ φαγί ἔτι δὲ τὸ φιλί, ἅτε ἀμφότερα οὐσιαστικὰ ὄντα καὶ κλινόμενα ὡς κοινὰ οὐσιαστικὰ οὐδέτερα, οἷον τοῦ φαγιοῦ τοῦ φιλιοῦ, τὰ φαγιὰ τὰ φιλιά. 'Εὰν ἦσαν ἀληθῶς ἀπαρεμφατικὰ (τὸ φαγεῖν καὶ τὸ φιλεῖν) δὲν θὰ ἐκλίνοντο.

'Εν πᾶσι τοῖς λοιποῖς παραδείγμασι τὸ προτασσόμενον μόριον τὸ δὲν εἶνε ὁριστικὸν ἄρθρον ἀλλ' ἀναφορικὴ ἀντωνυμία ἢ ὑποτακτικὸν ἄρθρον = ὅ, τὸ καὶ παρὰ τοῖς ἀρχαίοις συχνότατα οὕτως ἀπαντῶν. Κατ' ἀκολουθίαν τὸ ἔχει (ἢ τὰ ἔχει), τὸ ἰδεῖ, τὸ φανεῖ, τὸ λέγει, τὸ λύσει καὶ τὸ δέσει, οὐδὲν ἄλλο εἰσὶν ἢ ἀναφορικαὶ προτάσεις ἀποκεκρυσταλλωμέναι εἰς οὐσιαστικοφανῆ ὀνόματα, ἤγουν τὸ ἔχει = (ἐκεῖνο) ὃ ἔχει, ὅπερ καὶ πληθυντικῶς λέγεται, ἤγουν τὰ ἔχει = ἃ ἔχει (1), τὸ ἰδεῖ ὅπερ γραπτέον τὸ ἰδῇ = ὃ ἂν ἴδῃ, (τὸ πιεῖ) πιῇ = ὃ ἂν πίῃ, τὸ φανῇ (κοινότερον ὅ,τι φανῇ) = ὃ ἂν φανῇ, τὸ

(1) 'Ερωφίλη σ. 126 (ἔκδ. 'Αθηνῶν 1898): γιατί τὰ ἔχει τὰ πολλὰ καὶ τὰ περίσσα πλούτη | δὲν εἶν' 'ς τσ' ἀνθρώπους πάντοτες.

λύσῃ καὶ τὸ δέσῃ=ὅ,τι ἂν λύσῃ καὶ δήσῃ, ὅθεν καὶ προσωπικῶς τὸ (=ὅ,τι) λύσω καὶ τὸ δέσω, τὸ λύσῃς καὶ τὸ δέσῃς κτλ.

5. θέλω γράψῃ κοιμηθῇ (οὐχὶ -ψει -θῆ).

Ἐκ τῶν ἀνωτέρω γίνεται δῆλον ὅτι ἐν τῇ περιφράσει «θέλω ἢ ἔχω γράψει», «θέλω ἢ ἔχω κοιμηθῇ» ἡ διὰ τοῦ -ει καὶ -ῆ γραφὴ εἶνε πλημμελὴς ἐπινοηθεῖσα ὑπὸ τῶν παλαιοτέρων γραμματικῶν οἵτινες παρεπλανήθησαν ἐκ τῆς πάλαι ἀπαρεμφατικῆς συντάξεως τῶν ῥημάτων θέλω καὶ ἔχω. Ἀλλ' ὁ μελετήσας τὸ ζήτημα ἱστορικῶς γινώσκει ὅτι ἡ πρὸ τοῦ μεσαίωνος λαλιὰ οὔτε τὸν μέλλοντα οὔτε τὸν παρακείμενον περιέφραζε καθ' ὃν καὶ ἡμεῖς τρόπον. Παρ' ἐκείνοις ἡ φράσις θέλω μαθεῖν ἀείποτ' ἐδήλου θέλω νὰ μάθω, πόθον ἔχω ἵνα μάθω, οὐδέποτε δὲ σχεδὸν ἐλέγετο ἐπὶ τῆς σημασίας ἁπλοῦ μέλλοντος οἷος ὁ νῦν θὰ μάθω. Τὰ στάδια ἅπερ διήνυσεν ὁ μέλλων ἀναπτύσσονται διὰ μακρῶν ἐν τῇ εἰρημένῃ Ἱστορικῇ Γραμματικῇ μου (ἐν σελ. 552-559), συνοψίζονται δ' ἐνταῦθα λαμβανομένου ὡς παραδείγματος τοῦ ῥήματος πάσχω.

Α' Ἀρχαϊκὴ περίοδος (μέχρι 500 π.Χ.): πείσομαι (ἀλλὰ καὶ πάθω οἷον μνήσομαι οὐδὲ λάθωμαι, Ὕμν. Ἀπόλλ. 1).

Β' Ἀττικὴ περίοδος (500-300 π.Χ.): πείσομαι (κοινῶς δὲ καὶ πάθω).

Γ' Μεταγενεστέρα περίοδος (300 π.Χ.-600 μ.Χ.), ἤγουν—

α' Ἑλληνίζουσα περίοδος (300-150 π.Χ.): πάθω καὶ πείσομαι.

β' Ἑλληνορωμαϊκὴ περίοδος (150 π.Χ.-600 μ.Χ.): πάθω, πάθω ἄν, ἵνα πάθω, ἔχω (ἐνίοτε μέλλω καὶ σπανίως θέλω) παθεῖν.

Δ' Νεοελληνικὴ περίοδος, ἤγουν—

α' Προμεσαιωνικὴ περίοδος (600-1000 μ.Χ.): ἵνα (νὰ) πάθω.

β' Μεσαιωνικὴ περίοδος (1000-1500 μ.Χ.): νὰ πάθω (θὲ νὰ πάθω, θέλω πάθῃ, θέλει πάθω).

γ' Νεωτέρα περίοδος (1500-1900 μ.Χ.): νὰ πάθω, θενὰ πάθω, θὰ πάθω, (νὰ πάθω θέλει, θέλει πάθω. θέλω πάθῃ).

Ὁ καθ' ἡμᾶς ἄρα μέλλων νὰ πάθω, νὰ πάθῃ θέλω ἢ νὰ πάθω θέλει, θενὰ πάθω, θὰ πάθω εἶνε ὁ γνήσιος δημώδης τύπος, ὁ δὲ

θέλῳ πάθῃ (γράψῃ, κοιμηθῇ κτλ.) εἶνε δημιούργημα τῶν γραμματικευομένων καὶ ὡς τοιοῦτον ἔτι ἀπόζει σοφολογιότητος.

5. ἔχω γράψει κοιμηθῆ ἢ ἔχω γράψῃ κοιμηθῇ;

Τὰ αὐτὰ περίπου ῥητέον καὶ περὶ τοῦ ἔτι νεωτέρου περιφραστικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, ἤγουν τῶν τύπων **ἔχω** λύσει ἔχω κοιμηθῆ καὶ **εἶχον** λύσει εἶχον κοιμηθῆ, οἵτινες ἐσχηματίσθησαν ὑπὸ τῶν φιλολογούντων καθ' οὓς χρόνους οὐδὲν ἴχνος ἀπαρεμφάτου περιεσῴζετο πλέον ἐν τῇ ζώσῃ λαλιᾷ. Οἱ προγενέστεροι ἡμῶν λόγιοι οἱ οἰκείως μὲν πρὸς τὰς νεωτέρας ἀλλοφύλους (Λατινογενεῖς) γλώσσας ἔχοντες, ἀηδῶς δὲ φέροντες τοὺς κοινολεκτουμένους τύπους ἔχω ἢ εἶχα λυμένον (-ην, -ους, -ες, -α) καὶ εἶμαι λυμένος, ἅτε ἀδιπλασιάστους ὄντας καὶ ἀπροσφυεῖς πρὸς καλλιεπῆ λόγον, παρέλαβον ἐκ τῆς ζώσης λαλιᾶς τοὺς οἰκειοτάτους μὲν εἰς εὐφωνικὸν δὲ ἢ μᾶλλον παράσιτον -ν τότε λήγοντας τύπους τῆς ὑποτακτικῆς λύσῃν· γράψῃν· φάγῃν· πάθῃν· δράμῃν· εἰ]πῇν· κοιμηθῇν· στραφῇν· πατηθῇν κλπ. (ὅρα ἀνωτέρω σελ. 219), συνεδύασαν δ' αὐτοὺς πρός τε τοὺς ἀρχαιοτέρους ἔχω λύσας ἔχω λύσειν (-σαι) καὶ τοὺς νεωτέρους κοινολεκτουμένους ἔχω λυμένον καὶ οὕτω παρεσχημάτισαν νέον τύπον ἔχω λυσειν ἔχω λυθῇν· Ἄλλαις λέξεσιν ἐκ τῆς συνεπιδράσεως —

τῶν παλαιῶν τύπων:		καὶ τῶν ἔκτοτε κοινολεκτουμένων:
ἔχει λύσας, ἔχει λυθείς	καὶ	ἔχει νὰ λύσῃν· ἔχει νὰ ληθῇν
ἔχει λύσειν, ἔχει λυθῆναι	»	ἔχει λυμένον, εἶνε λυμένος

παρεσχηματίσθησαν οἱ τύποι ἔχει λύσιν ἔχει λυθῖν οὓς ὡς εἰκὸς γραπτέον λύσῃν λυθῇν· τανῦν δὲ λύσῃ λυθῇ. κατὰ ταῦτα δὲ καὶ ἔχω γράψῃ φάγῃ πάθῃ δράμῃ εἰ]πῇ κοιμηθῇ στραφῇ πατηθῇ, καὶ πάντα τὰ τοιαῦτα.

Ὅτι δ' οἱ τύποι οὗτοι δὲν εἶνε ἀπαρεμφατικοὶ ἀλλ' ὑποτακτικοὶ γίνεται φανερὸν ἐκ τῆς ἀνωτέρω ἱστορικῆς ἐξελίξεως μάλιστα δ' ἐκ τῶν ἑξῆς λόγων:

α') Ἡ ἀπαρέμφατος εἶχε παντάπασιν ἐκλιποῦσα πολλῷ πρὸ τῆς ἐμφανίσεως τῶν περιφραστικῶν τούτων τύπων.

β') Ὁ παθητικὸς (καὶ μέσος) αὐτῶν τύπος εἶνε ἔχω λυθῇ κοι-

μηθῇ στραφῇ πατηθῇ, οὐδέποτε δὲ ἔχω λυθῆναι κοιμηθῆναι στραφῆναι πατηθῆναι.

γ΄) Ὁ τονισμὸς αὐτῶν ἀείποτε συμφωνεῖ πρὸς τὸν τῆς ὑποτακτικῆς, ὅπερ εἶνε ἀψευδὲς κριτήριον ἐν αἷς μάλιστα περιπτώσεσιν ἡ ἀπαρέμφατος καὶ ὑποτακτικὴ δὲν ὁμοτονοῦσιν ἀλλὰ τονίζονται ἐπὶ διαφόρου συλλαβῆς, οἷον λαβεῖν λάβῃ, παθεῖν πάθῃ, τυχεῖν τύχῃ, πεσεῖν πέσῃ κτλ. κτλ. Ὅτι δὲ καὶ τὰ τρία παραδείγματα ἔχω εἰ]πῇ ε]ὑρῇ ἰ]δῇ δὲν ἀποτελοῦσιν ἐξαίρεσιν ἅτε προερχόμενα ἐκ τῶν δημωδεστέρων τύπων 'πῇ 'βρῇ 'δῇ εἴδομεν ἤδη ἀνωτέρω (σελ. 220).

Μηνὶ Ἰανουαρίῳ 1900.

Α. Ν. ΓΙΑΝΝΑΡΗΣ.

Υ. Γ. Εἶσθαι — θέλω εἶσθαι (εἶσται), ἤθελά 'σται.

Τὸ μοναδικὸν καὶ ἀπὸ τοῦ μεσαίωνος ἀναφαινόμενον εἶσθαι ἢ εἶσται (οἷον θέλει εἶσται) δὲν εἶνε ἀπαρέμφατος, ὡς κοινῇ νομίζεται κἀγὼ δ' αὐτὸς ἄλλοτε ἐνδοιάζων παρεδεχόμην (§ 985 [2]). Νεώτεραι ἔρευναι καὶ παρατηρήσεις ἔπεισάν με ὅτι οὐδέποτε οὐδαμοῦ ὑπῆρξεν ἀπαρέμφατος εἶσθαι, ἀλλ' ὅτι ὁ μονήρης καὶ ἀλλόκοτος οὗτος τύπος οὐδὲν ἄλλο εἶνε ἢ σχολαστικὴ μεταγραφὴ τοῦ εἶσται, καὶ ὅτι τοῦτο πάλιν εἶνε αὐτὸ τὸ ἄλλοτε κοινότατον ἔσται (=ἔσεται) παραμεμορφωμένον. Ἄλλαις λέξεσι τὸ πάλαι μελλοντικὸν ἔσται ἔνθεν μὲν παρεσχηματίσθη εἰς εἶσται κατὰ τὰ εἶμαι εἶσαι εἶσθε (ἀκριβῶς καθ' ὃν τρόπον καὶ τὸ ἔνε μετετράπη εἰς εἶνε), ἔνθεν δὲ ἀποβαλὸν τὴν μελλοντικὴν αὐτοῦ δύναμιν καὶ ἐκληφθὲν ὡς ἐνεστὼς (πρβ. Γραμμ. App. iv. 3 καὶ 10 [6]), προσεπιδράσαντος ἴσως καὶ τοῦ ἐστί, προσέλαβε προτακτικὸν ἐπικούρημα τὸ θέλω καὶ ἔχω, οὕτω δ' ἐπέζησεν ἀποκρυσταλλωθὲν ἐν τῇ φράσει θέλει εἶσται (οἱονεὶ θέλει *ἐστί). Ἀλλ' εἶνε φανερὸν ὅτι τὸ εἶσται τοῦτο δὲν εἶνε ἀπαρέμφατος ἀλλὰ κεκρυσταλλωμένον τριτοπρόσωπον ῥῆμα, ὅπερ προσλαβὸν προτακτικὸν βοήθημα τὸ θέλω καὶ ἔχω ἀνεπλήρωσε τὸν πάλαι ἁπλοῦν μέλλοντα ἔσται (il sera), ἐν ᾧ ἀφ' ἑτέρου τὸ μὲν ἤθελά 'σται ἐμφαίνει τὸν δυνητικὸν τύπον (ἦν ἄν, je serais), τὸ δὲ νά 'χά 'σται τὸν ὑποθετικὸν (εἰ ἦν, si j'étais). Καὶ ἐνταῦθα ἄρα ἔχομεν κεκρυσταλλωμένον τριτοπρόσωπον ἑνικὸν ἔσται ὅπως καὶ ἐν τοῖς ἄλλοις τριτοπροσώποις ἑνικοῖς γράψῃ κοιμηθῇ σταθῇ.

Ἐκ τῶν ἀνωτέρω καταφαίνεται ὅτι τὰ τῆς νομιζομένης ἀπαρεμφάτου (γράψῃ, γραφῇ, σταθῇ, εἴσται, κττ.) προτασσόμενα μελλοντικὰ θέλω ἔχω καὶ τὰ τούτοις παραπλήσια ἢ συνώνυμα (μέλλω ἐμπορῶ [εὐπορῶ], δύνομαι), δὲν προσλαμβάνονται ὡς ἀληθῆ ῥήματα οἷα τὰ «θέλω νά μου γράφῃς', ἔχω πολλὰ νά σου 'πῶ», ἀλλὰ ὡς προτακτικὰ βοηθήματα ὁτὲ μὲν ἐπιρρωνύοντα τὸ ἐξησθενωμένον νά, οἷον «θέ[λει] νὰ γράψῃ» καὶ «ἔχει νὰ (ἐξ οὗ τὸ παρὰ Κυπρίοις ἔ' νὰ) γράψῃ», ὁτὲ δὲ καταλαμβάνοντα τὴν θέσιν αὐτοῦ, οἷον (νὰ γράψῃ) «θέλει γράψῃ». Κατὰ ταῦτα ἐν τοῖς «θέλει γράψῃ» καὶ «θὲ νὰ γράψῃ» τὸ γράψῃ καὶ τὸ νὰ γράψῃ δὲν ἐξαρτῶνται συντακτικῶς ἐκ τοῦ θέλει ἢ θέ, ἀλλὰ τοὐναντίον τὸ θέλει καὶ θέ (ἔχει, ἔ) εἶνε προτακτικὰ βοηθήματα προσληφθέντα μεταγενεστέρως. Ἀφ' οὗ δὲ τὸ ἀρχαιότερον νὰ γράψῃ (il écrira) οὔτε μορφολογικῶς οὔτε συντακτικῶς δύναται νὰ θεωρηθῇ ὡς ἀπαρέμφατος, οὐδὲ τὸ μεταγενέστερον καὶ διάδοχον αὐτοῦ «θὲ νὰ (θέλει) γράψῃ» δύναται νὰ εἶνε ἀπαρέμφατος.

Τούτων οὕτως ἐχόντων, δικαιοῦμαι, νομίζω, νὰ ἐμμένω τῇ γνώμῃ μου ὅτι ἐν τῇ καθ' ἡμᾶς ἀμιγεῖ καὶ γνησίᾳ δημώδει γλώσσῃ οὐδὲν ἴχνος ἀπαρεμφάτου ἢ ἀπαρεμφατικῆς συντάξεως σῴζεται, οὔτε κατὰ τόπον οὔτε κατ' ἔννοιαν.

Α. Ν. Γ.

ΠΑΡΟΡΑΜΑΤΑ

(Ἐν διατριβῇ Π. Φωτιάδου τυπωθείσῃ ἐν τόμ. ΙΓ' σελ. 3 κἑξ.).

Σελ.	24	στίχ.	18	ἀντὶ	(1)	γράφε :	(2)
»	24	»	19	»	(2)	» :	(3)
»	25	»	3	ἀπὸ τέλους ἀντὶ :	ἐπανορθωςέντα	γράφε :	ἐπανορθωθέντα
»	48	»	8	» » » :	ἄρχοντές εἰσί,	» :	ἄρχοντές εἰσι.
»	59	»	16	ἀπ' ἀρχῆς » :	**ἔθυον δὲ αὐτῷ**	γράφε	[**ἔθυον δὲ αὐτ]ῷ**
»	60	»	26	» » » :	τὸτί	γράφε	τὸ τί
»	63	»	33	» » » :	κοῦ	»	κού

ΑΠΑΝΤΗΣΙΣ ΠΡΟΣ ΤΟΝ Κ. Α. ΓΙΑΝΝΑΡΙΝ

γ΄) εἰς σφάλματα περὶ τὰς διαλέκτους.

δ΄) εἰς σφάλματα περὶ τὴν Ἀττικὴν χρῆσιν.

ε΄) εἰς σφάλματα περὶ τὴν χασμῳδίαν.

ς΄) εἰς σφάλματα περὶ τοὺς τόνους καὶ τὰ πνεύματα.

ζ΄) εἰς σφάλματα περὶ τὴν ὀρθογραφίαν.

η΄) εἰς σφάλματα περὶ τὴν στίξιν.

θ΄) εἰς σφάλματα περὶ τὴν φιλολογικὴν ἀκρίβειαν ἤτοι περὶ τὴν ἀπόδοσιν τοῦ δικαίου ἑκάστῳ.

ι΄) εἰς σφάλματα περὶ τὴν μέθοδον καὶ ἀκολουθίαν.

ια΄) εἰς σφάλματα περὶ τὰς διορθώσεις.

Α΄. Σφάλματα περὶ τὴν κλίσιν καὶ τὸν σχηματισμὸν τῶν ὀνομάτων καὶ ῥημάτων.

Τὰ περὶ τὴν κλίσιν σφάλματα εἶναι πολυάριθμα καὶ στοιχειώδη, πρὸς δὲ καί, ὅπερ χαρακτηριστικὸν τοῦ ὅλου ἔργου, παντάπασιν ἀνακολούθως τὰ αὐτὰ στοιχεῖα ἀλλαχοῦ ἄλλως σχηματίζονται. Οὕτω λ. χ. Τελεσίππης σχηματίζει τὴν γεν. ἐν 339 d, ἀλλὰ Τελεσίππας δὶς 181 a καὶ Τελεσίππαν αὐτ. Ὁμοίως κλίνει τῇ Γενείτῃ ἀλλ' ἡ Γενείτα 277 a, b, ἀγνοῶν ὡς φαίνεται ὅτι ἡ ποικιλία τῶν

καταλήξεων -α -αν ἀλλ' -ης -ῃ γίνεται μόνον ὅταν τὸ α εἶναι βραχύ, οὐχὶ δὲ ὅταν διαλεκτικῶς τὸ α μακρὸν ὂν φυλάττηται καὶ ἐν τῇ 'Αττικῇ, οἷον 'Αρεταφίλα -ας -ᾳ, ὅπως γράφει καὶ αὐτὸς ἐν 255 f, 'Αντιγόνα 'Αντιγόνας· πρβλ. καὶ "Αδα -δας, Διοτίμα -ας κλπ. 'Ομοίως πλημμελῶς γράφει 278 c 'Ρουμίνᾳ ἀφοῦ τὴν ὀνομαστικὴν γράφει καὶ τονίζει ἡ 'Ρουμῖνα 278 d. Κάμμαν Κάμμας γράφει ἐν 257 e, f, καὶ 258 a, ἀλλὰ Κάμμῃ 768 c. Κίρραν Κίρρῃ ἐν 294 a ἀντὶ Κίρραν Κίρρᾳ. Τὸ μαχαίρῃ διώρθωσεν, ὡς λέγει, εἰς μαχαίρᾳ, τὸ δὲ Κίρρῃ κατέλιπεν ὡς καλῶς ἔχον. Νείλεω ἐκδίδωσιν ἐν 253 f καὶ 254 a καὶ 603 b, ἀλλὰ Νειλέου 349 e καὶ Νείλεος ἐν πίνακι Ζ' 522, ἀλλὰ τίς εἶδέ ποτε τοὺς τύπους τούτους; τὸν Διόνυσον αὐτὸν Εὐβουλῆ ἀντὶ Εὐβουλέα γράφει ἐν 714 c, καὶ τὸν θεὸν 'Ελευθερᾶ 716 b ἀντὶ τοῦ ὀρθοῦ 'Ελευθερέα (πρβλ. 'Ελευθερέως 289 a). 'Αλλ' ὡς γνωστόν, μόνον τότε ἡ αἰτ. καὶ γεν. τοῦ ἑν. καὶ πληθ. τῶν εἰς -ευς συνῃροῦντο ἐν τῇ 'Αττικῇ, ὅτε τοῦ -εὺς προηγεῖτο ι, 'Ερετριᾶ 'Ερετριᾶς 'Ερετριῶς 'Ερετριῶν, Μηλιᾶ -ᾶς -ῶς -ῶν, Πλαταιᾶ -ῶς -ᾶς (πρβλ. Κόντον ἐν 'Εφημ. Φιλομ. 1878 σελ. 229 κἑξ. καὶ 273 κἑξ. καὶ 305 κἑξ., Meisterhans-Schwyzer σελ. 141-2 καὶ Blass A' σελ. 448). Σημειωτέον δ' ὅτι καὶ τὰ εἰς -εὺς λήγοντα ταῦτα δὲν συνῃροῦντο ἐν τοῖς μεταγενεστέροις χρόνοις, ἤτοι ἐλέγετο τὸν Δωριέα τοῦ Δωριέως κλπ. (πρβλ. Blass A' 448. Meisterhans-Schwyzer 142). Τύποι ἄρα οἷον τὸν Εὐβουλῆ, τὸν 'Ελευθερᾶ εἶναι παντάπασιν ἀλλότριοι καὶ τῆς 'Αττικῆς καὶ τῆς Κοινῆς.

Διαρρήδην διδάσκει ὁ Χοιροβοσκὸς σελ. 145,1 «τούτων (τῶν ὑποκοριστ. ὀνομάτων οἷον Κλαυσῦ, Λαρδῦ, Καμμῦ) αἱ δοτικαὶ χωρὶς τοῦ ι εἰσὶν . . . ἐπειδὴ οὐδέποτε ἡ υι δίφθογγος ἐν τέλει λέξεως εὑρίσκεται»· καὶ τοῦτο ἀληθεύει πάντοτε περὶ τῆς 'Αττικῆς διαλέκτου (περὶ τῆς 'Ομηρικῆς καὶ περὶ τῶν διαλέκτων, ἐν αἷς τὸ υ ἔσῳζε τὴν ἀρχαίαν προφορὰν αὐτοῦ ὡς u, οὐχί). 'Αλλ' ὅμως παρὰ τὴν ῥητὴν διδασκαλίαν ταύτην ὁ κ. Β. συνῃρημένως ἐκφέρει τὴν δοτ. τῶν εἰς -ὺς -υος, οἷον Λίβυι 257 b, κάνδυι 329 d, Νέφθυι 356 f καὶ 375 c, πίτυι 675 d καὶ e, στάχυι 915 d (ὁμοίως γράφει κυισκομένην 365 c, εἰ καὶ ἡ δίφθογγος υι πρὸ συμφώνου δὲν ἀπαντᾷ) πρβλ. Blass A' σελ. 62. 'Εν Τόμ. A' σελ.

οϐʹ ἀναγνωρίζει ὡς γνησίους τοῦ Πλουτάρχου τοὺς τύπους Λακύδῃ, Ἀνδροκύδῃ, ἀλλ' ἐν 668 c μεταϐάλλει τὸ Ἀνδροκύδῃ εἰς Ἀνδροκύδει, καὶ πάλιν κατωτέρω ἐπιλήσμων γενόμενος γράφει Φερεκύδῃ 1064 a.

μελιγάρεας ὕμνους γράφει ἐν 406 a παραπέμπων ἅμα εἰς Πινδ. Ἰσθ. Βʹ 3· ἀλλ' ἐν τῇ ἐκδόσει τῶν Λυρικῶν τοῦ Bergk κεῖται οὐχὶ μελιγάρεας ἀλλὰ μελιγάρΥας, καὶ τοῦτο εἶναι τὸ μόνον ὀρθόν· πρϐλ. εὔϐοτρυς πολύϐοτρυς -υος, χρύσοφρυς λεύκοφρυς κυάνοφρυς -υος, κάλλιχθυς πολύιχθυς -υος κττ., ἅτινα διδάσκουσιν ὅτι τὰ σῴζοντα τὸ υ ἐν πάσαις ταῖς πτώσεσιν, ὅταν εἶναι ἁπλᾶ, φυλάττουσιν αὐτὸ καὶ ὅταν συντεθῶσιν, διὸ γῆρυς (Δωρ. καὶ Αἰολ. γᾶρυς), γήρυος καὶ μελίγηρυς -υος.

Γνωστὸν εἶναι ὅτι καὶ παρὰ τοῖς παλαιοῖς καὶ παρὰ τοῖς μεταγενεστέροις ἐκ κυρίων ὀνομάτων εἰς -ΙΣ ληγόντων ἐσχηματίζοντο γενικαὶ διὰ τοῦ -ΙΟΣ ἐκφερόμεναι, οἷον Ἄφυτις-Ἀφύτιος, Σκῆψις-Σκήψιος, Κρεῦσις-Κρεύσιος, Ζῆνις-Ζήνιος, Συέννεσις-Συεννέσιος, Αἶσις-Αἴσιος, Ἄλϐις-Ἄλϐιος κλπ.· ἴδε Κόϐ. ἐν Nov. Lect. σελ. 338 καὶ ἐν Μνημ. 1873 σελ. 134 καὶ 1876 σελ. 214. Τὴν κλίσιν ταύτην καθ' ἃ καὶ τὴν συνήθη εἰς -εως -ει εὑρίσκομεν ἐν τοῖς ὀνόμασι τούτοις καὶ παρὰ Πλουτάρχῳ κλίνοντι τοῦτο μὲν Λαχέσεως 568 d, ὅπως καὶ οἱ δόκιμοι, Νισίϐεως 563 a, καὶ ἐν τῇ αὐτῇ φράσει «ἡ Σεμιράμεως μεγαλοπραγμοσύνη τῇ Σεσώστριος...» 243c, Λέπτει 143 a, 983 f, Μέμφει 359 b, τοῦτο δὲ τοῦ Μείνιος 354 a, Τιϐούρι 277 f κττ. Εἶναι ἄρα ἀμφότεροι οἱ σχηματισμοὶ γνωστοὶ τῷ Πλουτάρχῳ κατὰ τὴν μαρτυρίαν τοὐλάχιστον τῶν ἀντιγράφων, οἷς φαίνεται ἀκολουθῶν ὁ ἐκδότης. Ἀλλ' ὅμως παρὰ ταῦτα ἐν σελ. 354 c τὸ τῶν ἀντιγράφων Σάει μεταϐάλλει εἰς τὸ διαλεκτικῶς κλινόμενον Σάϊ, καὶ τἀναντία, ὡσεὶ θέλων ν' ἀντισηκώσῃ τὴν βλάϐην, τὸ διαλεκτικὸν Θύμϐριος τῶν ἀντιγράφων ἐν 307 d μεταϐάλλει εἰς τὸ Ἀττικῶς κλινόμενον Θύμϐρεως. Τίνα λόγον ἔχουσιν ἢ τί ἐλέγχουσιν αἱ μεταϐολαὶ αὗται;

Ἐν 193 f ἐδημοσίευσε «Τί οὖν, εἶπεν, Ἀντιγενίδας στένει καιιοὺς Τέλληνος αὐλοὺς ἔχοντος; ἦν δὲ αὐλητὴς ὁ μὲν ΤέλλῃΣ κάιιστος κλπ.», ἀντὶ ΤέλλῃΝ, ὅπως πρὸ πολλοῦ παρετήρησεν ὁ Din'orf ἐν Θησ. Στεφ. Ἄλλως θὰ εἴχομεν Τέλλης Τέλληνος, ὡς

φαίνεται, κατὰ τὸ μέλας μέλανος, τάλας τάλανος, δελφὶς -ῖνος κλπ.

Φιλάμμωνα ἐξέδωκεν ἐν 1132 a καὶ 1133 b, εἰ καὶ ἐν τῷ Θησαυρῷ τοῦ Στεφ. ἀπεδείχθη πρὸ πολλοῦ ὅτι μόνη ἡ διὰ τοῦ ο γραφή, ΦιλάμμΟνα εἶναι ὀρθή.

Λυκάωνος 300 a, ἀλλὰ Λυκάονα Ζ' 409, 3. Ἰάσωνι 583 f· ἀλλ' Ἰάσονα 193 b, 871 b. Καὶ ὅμως εἶναι γνωστὸν ὅτι ἐν τοῖς ἀρχαιοτάτοις ὀνόμασι τούτοις Ἰάσων, Μαχάων, Λυκάων, Ἀμυθάων, Φιλάμμων -ονος, Πανδίων -όνος, Ἀρίων -ονος, Ἰξίων -ονος, Ἀμφίων -ονος, Ὀλοοσσὼν -όνος, Παίων -ονος, Μαίων -ονος κττ. διεσώθη ἡ ἀρχαιοτέρα μεταπτωτικὴ κλίσις, ἡ ἐξαφανισθεῖσα καθ' ὁμαλισμὸν ἐν τοῖς μετέπειτα Πλάτων -ωνος, Φωκίων -ωνος, Ἀρίστων -ωνος κτλ. Πρβλ. περὶ τούτου Κόντον ἐν Γλωσσ. Παρατηρ. σ. 207-14. Πρόδηλον δ' ὅτι διὰ τὴν διαφορὰν ταύτην ἡ γραφὴ τῶν ἀρχαιοτέρων τούτων διὰ τοῦ ω εἶναι ἀνορθογραφία ὁποία θὰ ἦν καὶ ἡ τῶν ἄλλων διὰ τοῦ ο, ἤτοι Ἰάσωνος εἶναι τοσοῦτον πλημμελὲς ὅσον θὰ ἦν καὶ Πλάτονος.

ἐπαγγελόμενος κατὰ β' ἀόριστον ἀντὶ ἐπαγγελλόμενος ἔγραψεν ἐν 195 b, εἰ καὶ ὁ ἀόριστος οὗτος καὶ τοῖς δοκίμοις παντάπασιν ἄγνωστος ἦν καὶ παρὰ τοῖς μεταγενεστέροις σφόδρα ἀμφίβολος· πρβλ. Veitch, Verb. Irreg. ἐν λέξει. Καὶ σημειωτέον ὅτι ἡ ἔννοια εὐοδοῦται κάλλιστα διὰ τοῦ ἐπαγγελλόμενος, διότι ὑπατεύοντι τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν . . ἐπαγγελλόμενος, ἐὰν κελεύῃ κλπ., ἤτοι ὑπισχνούμενος, παρέχων τὴν ὑπόσχεσιν, προσφερόμενος κλπ.

Παντάπασιν ἀνάξιον τοῦ Πλουτάρχου εἶναι τὸ ἐξεώσας ὅπερ κατέλιπεν ὁ ἐκδότης 367 b, τὸ κατεάξας 526 b ὅπερ μόνος ὁ κῶδιξ D παρέχει (πρβλ. Α' ϛ'), καίτοι οἱ Ἐνετικοὶ κώδικες ἔχοντες κατάγξας μαρτυροῦσι σαφῶς ὅτι κατάξας εἶναι τὸ γνήσιον, ὅπως καὶ οἱ ἄλλοι οἱ σώσαντες αὐτὸ ἀπαθές· ἀλλ' ὁ ἐκδότης ἀκολουθεῖ τῷ ἀθλίῳ D. Ὁμοίως ἔχει κακῶς καὶ τὸ κατεάξαι 511 e (τὸ ἐν 177 f κατεαγείσης ἐν νόθῳ συγγράμματι κριτέον ἄλλως)· πρβλ. περὶ τούτων Κόντον ἐν Λογ. Ἑρμ. Α' σ. 75 κέξ.

«ἄσσα δηλῶμαι, πράξω κατὰ πόλεμον ἢ τεθναξοῦμαι» γράφ ἐν 219 d εἰσάγων εἰς τὸ στόμα τοῦ Βρασίδου ἀτοπίαν δεινοτάτη

Διότι ὡς πασίγνωστον τὸ δηλῶμαι ἐκ τοῦ δηλέομαι σημαίνει βλάπτω ἀφανίζω, ὁ δὲ Βρασίδας λέγει «ὅσα θέλω», τ. ἔ. ἄσσα δήλομαι τοῦ δήλεσθαι, ὃ ἐν τῇ ἀνειμένῃ Δωρίδι λέγεται δείλεσθαι, ἐν τῇ Θεσσαλίᾳ δὲ βέλλομαι, καὶ δὴ εἶναι τῆς αὐτῆς ἀρχῆς τῷ βούλομαι. Περὶ τοῦ δήλομαι πρβλ. καὶ Allen ἐν Curt. Stud. Τομ. Γ' σελ. 274 «Ceterum formae δηλούμενος, δηλῆται, quas codices nonnunquam exhibent, aperte inscitiae librariorum debentur».

ἠρωτριωμένην ἔγραψεν ἐν Ζ' 319, 21, ὡσεὶ ἦν δυνατὸν νὰ λεχθῇ ὑπὸ τοῦ Πλουτάρχου ἀροτριόω παρὰ τὸ ἀροτριάω.

Παντάπασιν ἄτοπον εἶναι τὸ ἐν σελ. νβ' τοῦ Δ' τόμου λεγόμενον ὅτι ὁ Σχολιαστὴς εἶπε πάσσει ἀντὶ πήσσει πήγνυσι, διότι τὸ πήγνυμι ἔπηξα ἐγένετο πήσσω ἔπηξα, ὅπως τὸ κατάγνυμι-κατάσσω, τὸ ῥήγνυμι-ῥήσσω (πρβλ. Κόντον ἐν Λογίῳ Ἑρμῇ Α' 91 κέξ.), ἀλλὰ πάσσω-πήγνυμι ἀγνοεῖται ὅλως· καὶ ἂν δὲ ὑποτεθῇ ὅτι τὸ Δωρικὸν πάγνυμι ἐγένετο πάσσω, δὲν ἠδύνατο βεβαίως νὰ γράψῃ αὐτὸ ὁ Σχολιαστής, ὅστις δὲν ἔγραφε Δωριστί. Ὁ ἐκδότης ἄρα φαίνεται τρέψας εἰς τὸ δῆθεν Δωρικὸν πάσσω τὸ κοινὸν πήσσω.

παρωνυχίσιν γράφει ἐν Α' σελ. πθ' παρασυρθεὶς ὑπὸ τῆς κοινῇ φερομένης πλημμελοῦς φράσεως «δὲν πρόκειται περὶ παρωνυχίδος», εἰ καὶ ἐν 43b ἐξέδωκε παρωνυχίαν, παρωνυχίας 73b, 440a καὶ 465a. Παρωνυχίαν εἶπε καὶ Γαληνὸς καὶ ἄλλοι. Τὸ παρωνυχὶς κείμενον δὶς ἢ τρὶς παρὰ τοῖς ἐσχάτοις τῶν Βυζαντιακῶν συγγραφέων ἐπ' οὐδενὶ λόγῳ ἐπιτρέπεται νὰ ἐμφανίζηται ἐν ἐκδόσει τοῦ Πλουτάρχου.

Ἐν σελ. 29 τῆς Ἐπετηρίδος 1898 ἐλέγχει τὸν Π. Παππαγεωργίου ὅτι «ἐσχημάτισε τὴν ἀνήκουστον (sic) γεν. Δηιανείρης (ἐν πίν. σελ. 526, 3)», πρότερον δ' αὐτὸς ἐξέδωκε Κίρρης, ὅπως εἴδομεν, ἔτι δὲ καὶ Ἀγλαΐην ἐν 778d καὶ Λευκοθέης ἐν Ζ' 294, 7.

Διὰ μακρῶν διέλαβεν ἐν Τομ. Α' σελ. π' περὶ τοῦ σχηματισμοῦ τῶν ιάτων ἵλεως, ἀγήρως, ἀνάπλεως, ἀξιόχρεως, συνεπέρανε δὲ ταῦτα τὴν αἰτ. τοῦ ἐν. ἐσχημάτιζον εἰς -ων, ἤτοι ἐκλίνοντο κατὰ β' Ἀττ. κλίσιν· καὶ ὅμως ἐν 113a ἐξέδωκεν ἔμπλεοι οὐδὲν παραήσας. Τίκτων ἐξ ἑαυτοῦ καὶ κύων 367f καὶ τὸ κύειν 376a, κύει

377b, ἀλλὰ κυεῖσθαι 770a καὶ μετὰ δύο σελίδας 771b πάλιν κύουσα. Καὶ ὅμως διὰ μικρᾶς καὶ ἀεὶ ἐπιτετραμμένης ἡμῖν μετακινήσεως τοῦ τόνου θ' ἀποκαθίσταντο τὰ γνήσια κυῶν, κυεῖν, κυοῦσα καὶ θὰ ἐξέλειπεν ἡ ἄλογος ποικιλία μεταξὺ ἐνεργητικῆς καὶ μέσης φωνῆς, κύω ἀλλὰ κυοῦμαι, ἀφοῦ σήμερον εἶναι ἀποδεδειγμένον ὅτι ἐνεστὼς βαρύτονος κύω δὲν ἐλέγετο ὑπὸ τῶν Ἑλλήνων (τὸ κυσαμένη, κύσας κτλ. δὲν προϋποτιθεῖσι κύω, ὅπως οὐδὲ τὸ δόξω ἔδοξε ῥῆμα δόκω ἢ τὸ ἔωσα ῥῆμα ὤθω κτλ.). Ἰδοὺ τί γράφει περὶ τούτων ὁ Blaydes ἐν τῇ ἐκδόσει τῆς Ἀριστοφάνους Λυσιστράτης σελ. 255 Ἐκύεις] Abs κυῶ. (f. 752 κυεῖν-κυῶ. Thesm. 641 ἐκύησα. Plat. Theaet p. 210 κυοῦμεν (ita omnes mss.). p. 151 κυοῦντα. Symp. 206 E κυοῦντι. 209 C ἐκύει. Plat. Legg. 789 A τὸ κυούμενον. Herod. VI. 68 κυέουσαν. Lucian. D. D. IX. 1. ἐκύει. Quum apud Homerum extent formae κυέουσαν (Il. Ψ 266) et ἐκύει (τ, 117), antiquioram formam esse κυεῖν recte colligere videtur Buttmannus Irreg. Verbs. p. 161. De utraque forma κυῶ et κύω, quorum prior certe in Atticis praeferenda videtur, agit Lobeck. ad Aj. 239 (p. 182-183). Πρβλ. καὶ Λ. Δινδόρφιον εἰς Ξενοφ. Κύρ. Παιδ. σελ. 250 καὶ εἰς Κυνηγ. σελ. 213. Περὶ τῶν τύπων κυῶ καὶ κύω ἐποιήσατο λόγον ὁ Λοβέκκιος καὶ ἐν τοῖς Παραλειπομένοις σελ. 556 καὶ Schanz ἐν Πλάτωνι Εα σελ. VI.

Τομ. Α΄ σ. ος΄ γράφει «Aliae tamen duplices ac triplices librariis debentur, velut ἀνάλισκον semel: ἀνήλισκον novies, -ἀνάλωκα ter: -ἀνήλωκα quater: -ἠνάλωκα bis: -ἀνάλωμαι ter: -ἀνήλωμαι ter: -ἀνάλωσε undevicies: -ἀνήλωσε sexies: -ἠνάλωσε quater: -ἀναλώθην ter: -ἀνηλώθην semel: -ἠναλώθην semel. Unde scribendum videtur ἀνήλισκον, -ἀνάλωκα vel -ἀνήλωκα, -ἀνάλωσα, -ἀνάλωμαι, -ἀναλώθην». Ὁμολογῶ ὅτι δὲν νοῶ πῶς ἐκ τῶν τοιούτων γραφῶν συνήχθη τὸ συμπέρασμα τοῦτο· ἀλλ' ἔστω ἀφοῦ συνήχθη, ἔδει τοὐλάχιστον νὰ τηρηθῇ πανταχοῦ. Ἀλλ' ὅμως γράφει ἐν 783d ἀνηλωμένον καὶ ἐν 192a καταναλῶσθαι μὲν ἔχει ἡ ἔκδοσις τοῦ Βυττεμβαχίου καὶ Δυβνήρου, κατηναλῶσθαι δὲ ἡ τοῦ κ. Γ ὁμοίως γράφει ἀνήλωσε 1126e. Τὴν γραφὴν καταναλῶσθαι βλέ τις καὶ ἐν τῷ Θησ. τοῦ Στεφ., ἔνθα γίνεται μνεία τούτου τοῦ χωρί τοῦ Πλουτ. Δῆλον ἄρα ὅτι ὁ ἐκδότης συνεπέρανε μὲν ἐν τῷ Προλό

ὅτι ὁ Πλούτ. ἔγραφεν ἀνάλωμαι καὶ ἀνάλωσα, ἐξέδωκε δὲ ἔπειτα παρὰ τὸ συμπέρασμα ἀνήλωμαι καὶ κατηνάλωμαι καὶ ἀνήλωσα οὐδένα οὐδαμοῦ λόγον δοὺς ποῦ εὗρε ταῦτα ἢ πῶς μετεπείσθη. Ἐν 300 a «ἐκ τοῦ τυχόντος ἑλκειδίου νοσήσας», οὕτως ἐξέδωκεν ὁ ἐκδότης ἀντὶ τοῦ ἑλκυδίου τῶν ἀντιγράφων, πρβλ. Α΄. νϐ΄· ἀλλ' ἡ γραφὴ ἑλκυδίου ἄγει ἐπὶ τὴν ἀληθῆ γραφὴν ἑλκυδ(ρ)ίου, διότι ἑλκύδριον ἐλέγετο οὐχὶ ἑλκείδιον (πρβλ. Ἀριστοφάν. Ἱππεῦσιν 907). Ἡ γνώμη τοῦ Schwabe, de Deminutivis 68 ὅτι ἐκ τοῦ ἑλκύδριον χάριν εὐφωνίας ἐγένετο κατ' ἀποβολὴν τοῦ ρ τὸ ἑλκύδιον, εἶναι μὲν πάντοτε δυνατὴ κατ' ἀρχήν, ἀλλ' ἐφ' ὅσον δὲν πιστωθῇ ἀρκούντως ἡ ὕπαρξις τοῦ ἄνευ τοῦ ρ τύπου, ἑλκύδιον, προτιμότερον νὰ ὑποληφθῇ τοῦτο φθορὰ τῶν μεταγραφέων καὶ μᾶλλον κατὰ τὰ πολλὰ εἰς -ύδριον (πρβλ. Lobeck, Proleg. 401 καὶ Κόντου ἐν Λογ. Ἑρμ. Ε΄. σελ. 34 καὶ Ἀθηνᾶς τόμ. Ι΄. σελ. 330) νὰ τρέψωμεν καὶ τοῦτο εἰς ἑλκύδριον. Ἀλλ' εἴτε τῷ Schwabe ἤθελε πεισθῇ τις εἴτε τῷ Κόντῳ, πάντοτε ἡ διόρθωσις τοῦ ἐκδότου ἑλκειδίου οὐδὲν ἄλλο εἶναι ἢ φθορὰ τῆς παραδόσεως καὶ γλωσσικὸν σφάλμα.

Καὶ λέξεις τερατώδεις ἔπλασεν, οἷον 958 b πολυλυσιτέλειαν, ἔτι δὲ ἄναυξον 981 f, εἰ καὶ ἀναυξῆ ἐξέδωκεν ἐν 912 a, εὐαυξῆ ἐν 237 f (εὐαυξὴς εἰκάζει καὶ ἐν 724 e σημειώσει). Τὸ ἄναυξον τοῦτο ψεχθὲν ὑπ' ἐμοῦ κατὰ τὴν συνεδρίαν ἐκείνην τῆς Σχολῆς ἐπιχειρεῖ νῦν νὰ δικαιολογήσῃ ἐν Ἐπετηρίδος σελ. 97 διατεινόμενος ὅτι «ἐπειδὴ ἐν πᾶσι τοῖς ἄλλοις χωρίοις μεταχειρίζεται (ὁ Πλούταρχος) τὸ ἀναυξές, εἶνε προφανὲς ὅτι ἐνταῦθα ἔγραψεν ἄναυξον, ἵν' ἀποφύγῃ τὴν ἐπανάληψιν τῆς καταλήξεως -ες». Ἀλλ' ἐγὼ δὲν πείθομαι περὶ τοῦ «προφανοῦς» τούτου συμπεράσματος, διότι πρῶτον μὲν πολὺ λογικώτερον φαίνεταί μοι τὸ ἐναντίον συμπέρασμα, δηλ. ὅτι ἐπειδὴ ὁ Πλούτ. ἐν πᾶσι τοῖς ἄλλοις χωρίοις μόνων τῶν εἰς -αυξὴς τύπων ποιεῖται χρῆσιν, δῆλον ὅτι καὶ ἐν τούτῳ ὁμοίως ἔγραψεν ἀναυξές, ὅτι δ' ἐφθάρη ὁ τύπος οὗτος ἐνταῦθα. Δεύτερον δὲ βλέπω τὸν Πλούταρχον μεταχειριζόμενον λέξεις ὁμοίως περατουμένας, ...λ. συνεχὲς καὶ ὁμαλὲς 564 d (ὅπου ἠδύνατο νὰ γράψῃ καὶ ...γὲς καὶ ὁμαλόν, ἄλλα ὅμοια ἴδε κατωτέρω).

...ὶ τρίτον δέν μοι φαίνεται πιθανὸν ὅτι ὁ Πλούταρχος ἠδύνατο ...ρβαρίσῃ καὶ διαφθείρῃ τὴν γλῶσσαν οὕτως ὥστε νὰ εἴπῃ ἄναυ-

ξον ἀντὶ ἀναυξές, ἢ ἄμαθον, ἄτυχον, ἄμελον, ἄσαφον, ἄφραδον, ἄμιγον, ἄδρανον κττ. ἀντὶ τοῦ ἀμαθές, ἀτυχές, ἀμελές, ἀσαφές, ἀφραδές, ἀμιγές, ἀδρανὲς κττ. Διότι εἶναι γνωστὸν ὅτι ὅπως ἐκ τοῦ αὔξω, αὐξάνω, αὔξομαι, αὐξάνομαι, προῆλθε τὸ εὐ-αυξής, ἀναυξὴς οὕτως ἐκ τοῦ σφάζω, σφάζομαι τὸ αὐτοσφαγής, ἐκ τοῦ μέλω -ομαι τὸ ἐπιμελής, ἀμελής, ἐκ τοῦ στέλλω-ομαι τὸ εὐσταλής, ἐκ τοῦ μίγνυμι -μαι τὸ ἀμιγής, ἐκ τοῦ λείπω -ομαι τὸ ἐλλιπής, ἐκ τοῦ φράζω -ομαι τὸ εὐφραδὴς κττ.· ἀλλ' ἐπίσης εἶναι γνωστὸν ὅτι τὰ εἰς -ης ταῦτα σύνθετα ἐπίθετα δὲν μεταβάλλονται ἐν τῇ ἀρχαίᾳ Ἑλληνικῇ οὔτε εἰς ὀξύτονα εἰς -ός, οὔτε εἰς προπαροξύτονα εἰς ´— - ος, ὅπως γίνεται ἐν τῇ νεωτέρᾳ, πρβλ. Ἀθηνᾶς Τόμ. Α' σ. 484,490. Ὁ τύπος ἄρα ἄναυξον εἶναι ὁμοιότατος τῷ ἐπίμελον, ἄμελον, ἄμιγον, εὔσταλον, ἄφραδον κττ. ἢ τῷ ἄτυχος, ἄχαρος, ἄπαχος κττ., ἤτοι ξένος τῆς ἀρχαίας γλώσσης. Δὲν εἶναι ἄρα πρόδηλον, ὅπερ λέγει ὁ ἐκδότης, ὅτι «ἵνα φύγῃ τὴν ἐπανάληψιν τοῦ -ες», ἔγραφεν ὁ Πλούταρχος ἄναυξον, ἀλλ' ὅτι ἀντιγραφεύς τις εὑρὼν συντετμημένως σεσημειωμένην τὴν κατάληξιν τοῦ ἀναυξὲς ἀνέγνω πλημμελῶς -ον ἀντὶ -ες· τοῦτο μαρτυρεῖ καὶ αὐτὸς ὁ ἐκδότης λέγων ἐν τῷ προλόγῳ τοῦ Α' Τόμου ὅτι ἐν τῷ κώδικι D αἱ καταλήξεις φέρονται συντετμημένως (ἰδὲ κατωτέρω).

Β'.

Σφάλματα περὶ τὴν σύνταξιν

Καὶ τὰ περὶ τὴν σύνταξιν σφάλματα τῆς ἐκδόσεως ταύτης εἶναι πολυάριθμα, πολλὰ δὲ τούτων καὶ τελέως στοιχειώδη καὶ ἄντικρυς ἀσύγγνωστα· οὕτω λ. χ. σύγχυσιν τῶν τοπικῶν προσδιορισμῶν ἐμφαίνουσι τὰ ὑπὸ τοῦ ἐκδότου γραφόμενα ἐν 845 a ἐβάδιζεν οἴκοι, ἐν 942 f κομισθέντες αὐτόθι», 413 d πολλαχόθεν τῆς οἰκουμένη χρηστήρια καθειστήκει, 16 f εἰς τὴν νεκυίαν (sic) εἶπεν κτ

Ἐν σελ. 218 f ἔγραψεν «ἀλλ' οὐ τοῦτο, ἔφη, ὁρᾶν δεῖ, ἀλλ' ο μαχούμενοι κρείσσονες τῶν πολεμίων ἐσόμεθα» ἀντὶ τοῦ οἱ τό

ἀντιγράφων· ἀλλὰ τὸ οἷ δὲν σημαίνει τὴν ἐν τόπῳ σχέσιν, ἣν τὸ μαχούμενοι ἀπαιτεῖ, διό, ἂν μή τις θέλῃ νὰ γράψῃ τὸ ἀπαιτούμενον ᾗ ἢ οὗ, ἀνάγκη νὰ προτιμηθῇ τὸ ἐν τῇ Διδοτείῳ ἐκδόσει κείμενον εἰ, ὅπως μὴ εἶναι σόλοικος ὁ λόγος, ὅπως ἐξέδωκεν ὁ ἐκδότης.

Καὶ 517d «ἥλιον πολυπραγμόνει ποῦ κάτεισι καὶ πόθεν ἄνεισι· ζήτει τὰς ἐν σελήνῃ καθάπερ ἐν ἀνθρώποις μεταβολάς, ποῦ τοσοῦτον κατανάλωσε φῶς, πόθεν αὖθις ἐκτήσατο...». Ὁ ἐκδότης ἀντὶ τοῦ πρώτου ποῦ εἰκάζει ποῖ, ἀλλὰ τὸ δεύτερον καταλείπει ὡς καλῶς ἔχον. Καὶ ὅμως ἡ ἀντίθεσις καὶ τούτου πρὸς τὸ εὐθὺς ἑπόμενον πόθεν αὖθις ἐκτήσατο καὶ αἱ φράσεις (κατ)αναλίσκω εἰς τὸ δέον, εἰς τὴν στρατιὰν κλπ. διδάσκουσιν ὅτι καὶ ἐν τούτῳ ποῖ γραπτέον.

Ζ' 272, 17 «ἀλλὰ μὲν τό μου γένος ἀπ' ἐμοῦ λαμβάνει τὴν ἀρχήν, τὸ δὲ σὸν ἐν σοὶ λήγει»· πάντες πλὴν τοῦ ἐκδότου βλέπουσι τὴν ἀτοπίαν τοῦ «τό μου γένος», ἀντὶ τὸ ἐμοῦ ἢ τοὐμὸν γένος ὡς ἀντικειμένου πρὸς τὸ σόν. Ἀλλὰ καὶ ἀλλαχοῦ πολλαχοῦ καταφαίνεται ἡ περὶ ταῦτα ἀδυναμία αὐτοῦ· πρβλ. 560a ἔτι δ' ἐμοῦ λέγοντος, ὑπολαβὼν . . . καὶ 577a ταῦτά μου διαλεγομένου . . . διέκρουεν ὁ . . ., ἀνθ' οὗ ἐν σελ. 586 εἰκάζει ταῦτ' ἐμοῦ, καὶ 921 f καὶ ὁ Φαρνάκης, ἔτι μου λέγοντος, τοῦτ' ἐκεῖνο πάλιν..., 940f ἔτι δ' ἐμοῦ σχεδὸν λέγοντος, ὁ Σύλλας ὑπολαβὼν καὶ 942c θαυμάζοντος δ' ἐμοῦ ταῦτα καὶ δεομένου σαφέστερον ἀκοῦσαι, πολλὰ εἶπεν...»

Ἄγνοιαν στοιχειώδη τοῦ συντακτικοῦ ἐμφαίνει καὶ ἡ εἰκασία ἐν 275b «διὸ τὸν αἴτιον καὶ φύλακα ποιοῦνται τῆς εὐδαιμονίας» ἔνθα ἀντὶ τοῦ τὸν εἰκάζει ὁ ἐκδότης τοῦτον. Ἀλλ' ὁ νοῦς εἶναι: διὸ τὸν (ὄντα) αἴτιον τῆς εὐδαιμονίας ποιοῦνται καὶ φύλακα αὐτῆς, οὐχὶ δὲ ὅτι τὸν Κρόνον ποιοῦνται αἴτιον καὶ φύλακα τῆς εὐδαιμονίας, ὅπως φρονεῖ ὁ ἐκδότης, διότι ἀνωτέρω ἐλέχθη «ὅτι καρπῶν ἀρετῆς ἢ γεωργίας ἡγεμὼν ὁ Θεός, ὥστε εἶναι αἴτιος, οὐ ποιοῦνται αὐτὸν νῦν πρῶτον.

Ἄγνοιαν τῆς συντάξεως ἐλέγχει καὶ ἡ εἰκασία αὐτοῦ ἐν 204b «καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν ἔλαβέ τι τῶν εὐπορίστων», ἔνθα τὸ τὶ προσέθηκεν ὁ ἐκδότης· ἀλλ' ὅτι πλημμελῶς, διδάσκουσι τάδε τὰ χωρία: 296e εἰ μὴ τῆς γῆς λάβοι παρ' αὐτῶν, 298e προσέλαβε δὲ καὶ τῶν κεραμίων 366 f εἰς ὃ ποτίμου λαβόντες ὕδατος ἐγχέουσι· πρβλ.

καὶ 526e προκλέπτουσι τῆς ἡδονῆς, 830c τῶν ἐρίων ξαίνοντα, 262a καὶ φορεῖν ἐφηβικὰς χλαμύδας καὶ τῶν ἀνακώλων χιτωνίσκων. Ἔπειτα πόθεν γνωστὸν ὅτι ἔλαβε τὶ καὶ οὐχὶ τινά;

Ἄγνοιαν τῆς συντάξεως τοῦ δοκῶ ἐλέγχει ἡ μεταβολὴ ἡ προτεινομένη ἐν 442f «δέδοικα δὲ μὴ δόξαιμι παντάπασιν ἐπαγωγὰ καὶ νεαρὰ τῷ λόγῳ περαίνειν...», ἐν ᾧ ἀντὶ τοῦ δόξαιμι εἰκάζει ὁ ἐκδότης δόξω μοι, ὅπερ παντελῶς ἀλλότριον τοῦ προκειμένου, ἐπειδὴ τὸ δοκῶ μοι σημαίνει νομίζω, πιστεύω, ἐλπίζω, εἰκάζω, ἤτοι εἶναι ἀεὶ ἐνεργητικόν, τὸ δὲ δόξαιμι (ἄλλοις, ὑμῖν) συνωνυμεῖ τῷ φαίνομαι, νομίζομαι, εἶναι τρόπον τινὰ παθητικόν· πρβλ. 329e ἀλλ' ἐκείνης ἡδέως ἄν μοι δοκῶ γενέσθαι... θεατής, 209e ἐγὼ γάρ μοι δοκῶ τῶν τοιούτων βούλεσθαι ἐπάνω εἶναι, 317e νυνὶ δέ μοι δοκῶ τοῦ προβλήματος ὥσπερ ἀπὸ σκοπῆς καθορᾶν, 426f ἥδιον ἄν μοι δοκῶ μαθεῖν ἤ . . . 646 f ὅτι . . . μεμνῆσθαι μοι δοκῶ Σαπφοῦς λεγούσης κτλ.

Ἔλλειψιν παρατηρήσεως καὶ ἄγνοιαν τῆς συντάξεως τοῦ ἐκδεδομένου συγγραφέως ἐμφαίνει καὶ τὸ ἐν 290d «Βοιωτοῖς δὲ δημοσίᾳ καθαρμός ἐστι κυνὸς διχοτομηθέντος τῶν μερῶν διεξελθεῖν», ἐν ᾧ ὑποσημειοῦται «διὰ τῶν μερῶν Abreschius, τῶν μερῶν διὰ μέσου?». Ἀλλὰ τὴν αὐτὴν σύνταξιν ὁ ἐκδότης ἀλλαχοῦ κατέλιπεν ὀρθῶς ἀμετακίνητον, οἷον 51a ἢ γὰρ οὐ διεκπίπτει τῶν στενοτέρων πόρων ἢ συνεκπίπτει διὰ τῶν ἀραιῶν, 665f τῶν δ' ἀραιῶν καὶ πολυπόρων καὶ χαλώντων ... διεκθεῖ, 916e διεκθέοντα τῶν μανοτέρους (ἐχόντων πόρους) κτλ.

Πολλαχοῦ διώρθωσε τὸ εἰσὶν εἰς ἐστίν, ἵν' ἀποκαταστήσῃ τὴν Ἀττικὴν λεγομένην σύνταξιν· ἀλλ' ἐν 405f τὸ «ὠλίσθανεν... κατεπίμπλαντο... τὰ συμπόσια» μετέβαλε μετὰ τοῦ Reiske εἰς ὠλίσθανον... κατεπίμπλαντο, ἀντὶ ὠλίσθανεν... κατεπίμπλατο.

308d «παραγγείλας τῷ παιδὶ Στησιμβρότῳ μὴ συμβάλλειν»· ὀλίγον κατωτέρω ἐν τῇ αὐτῇ σελίδι κεῖται ἡ ὀρθὴ σύνταξις «τῷ υἱῷ προσέταξε μὴ συμβαλεῖν», ἀλλ' ὁ ἐκδότης οὐδὲν περὶ τούτων, ὡς φαίνεται, αἰσθάνεται, διὸ κατέλιπεν ὡς εὗρε τὸ χωρίον.

212f «ἐπεδείκνυτο νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφρονήσεως οὕτω «νομίζων ἄρξειν» ἐξέδωκεν ἐν τούτῳ ὁ ἐκδότης ἀντὶ τοῦ μίζων ἄρξαι τῶν ἀντιγράφων. Ἀλλ' ἐν 211d «τῷ δὲ τῶν Μακε

νων βασιλεῖ τὸ αὐτὸ ἐρώτημα προσέπεμψε· φήσαντος δ' ἐκείνου βουλεύεσθαι, βουλευέσθω τοίνυν, εἶπεν, ἡμεῖς δὲ πορευσόμεθα» κατέλιπε τὸ βουλεύεσθαι ἀμετακίνητον, εἰ καὶ ἡ ἔννοια προδήλως ἀπαιτεῖ τὸν μέλλοντα βουλεύσεσθαι, πρβλ 202f ἀναγνοὺς ἔφη βουλεύσεσθαι καὶ δώσειν τὴν ἀπόκρισιν, καὶ Ζ' 434, 17 καμπτόμενος δέ πως ταῖς Φοίνικος δεήσεσι βουλεύσεσθαί φησι περὶ τοῦ ἀπόπλου. Ὁμοίως πλημμελῶς ἐξέδωκε 214f «ἀξιοῦντος ἐπεξιέναι καὶ διαμάχεσθαι, οὐκ ἔφη διακωλύειν τοὺς πολεμίους», ἀντὶ διακωλύσειν, ὅπως ἡ αὐτὴ ῥῆσις κεῖται ἀνωτέρω 191d «οὐκ ἔφη διακωλύσειν...»· πρβλ. τὰ ὑπὸ τοῦ Κοβήτου περὶ τῆς συντάξεως ταύτης λεχθέντα ἐν Μνημοσ. 1874 σελ. 34.

768 f «Περίανδρος δ' ὁ Ἀμβρακιωτῶν τύραννος ἠρώτα τὸν ἐρώμενον εἰ μήπω κύει», ἐνταῦθα ὁ ἐκδ. ὑποσημειοῦται «malim κύοι», ὁμοίως καὶ ἐν 231e «ἤρετό τις εἰ τοῖς ἀδελφοῖς μάχεσθαι μέλλει, οὐκ, ἔφη, ἀλλ' ἐπὶ τὴν ἀκλήρωτον τῆς χώρας βαδίζει» ὑποσημειοῦται malim μέλλοι, βαδίζοι· καὶ 794f «πυνθανομένου τίνι πεποιθὼς ταῦτα πράττει» ὑποσημειοῦται malim πράττοι· ἀλλ' ἐν 162a ἐξέδωκεν ἠρόμην αὐτὸν ὅπου τὴν ναῦν οἴεται κατασχήσειν, 871c ἐπηρώτων τὸν θεὸν κοινῇ, εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ τὰ ἀκροθίνια, καὶ ἀλλαχοῦ πολλαχοῦ, οὐδὲν παρατηρήσας. Ὅτι δ' ἀληθῶς οὐδεμιᾶς μετακινήσεως ἦν χρεία, εἶναι πασίγνωστον, πρβλ. Kühner Β' σελ. 1058-9, καὶ Ἀσωπίου ΣΠΑ' 254, § 14, καὶ ΣΠΒ' 815, 818.

Ἐν 208a φέρεται κατὰ τὴν συνήθειαν τῶν δοκίμων συγγραφέων «οὐχ ἧττον ᾤετο δεῖν καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους ἢ περὶ ὧν λέγοιεν». Ἀλλ' ὁ ἐκδότης ᾔκασεν «οὐχ ἧττον... ἢ περὶ ὧν ἂν λέγοιεν» πλημμελῆ ὑπολαβὼν τὴν ἄνευ τοῦ συνδέσμου ἂν ἐκφοράν. Παράδοξον σφόδρα φαίνεται ὅτι ἀγνοεῖ χρῆσιν τῆς Ἑλληνικῆς γλώσσης καὶ τοῖς παισὶ γνωστοτάτην. Ὁ Ἀσώπιος γράφει ἐν τῇ Β' Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 388 § 29 ἐκδ. Β'. «Τίθεται δὲ εὐκτικὴ ἐπὶ ἀναφορᾶς, ὑποθετικὴν ἐχούσης ἔννοιαν, ἱστορικοῦ χρόνου ἐν τῇ κυρίᾳ προτάσει ὄντος, «ἔγχει ἔλεσκον ἀν... ὧν δυσμενέων, ὅ τε μοι εἴξειε πόδεσσιν» (Ὀδυσσείας Ξ. 290) ὁστισδήποτε. — «πολλάκι δόσκον ἀλήτῃ τοίῳ, ὁποῖος ἔοι καὶ ...υ κεχρημένος εἴη» (Ὀδυσσείας Ξ, 420) — «καὶ τοὺς ἀνθρώ...ς ἐφόνευον, ὅτῳ ἐντύχοιεν,, καὶ παῖδας καὶ γυναῖκας κτείνον

τες καὶ προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν» (Θουκ. Ζ', 29). — «Κῦρος οὕςτινας μάλιστα ὁρῴη τὰ καλὰ διώκοντας, τούτους καὶ δώροις καὶ ἀρχαῖς καὶ ἕδραις καὶ πάσαις τιμαῖς ἐγέραιρεν» (Ξ. Π. Η', α', 39). «ὃν ἕλοιεν τῶν ταύρων, ἔσφαττον» (Πλ. Κριτία, 119). Οὕτω καὶ ἀεὶ ἦν, ὅπου τοῖς πλείστοις μέλλοι συνέσεσθαι (Ξ]». Καὶ σελ. 389 § 131 «Τὰ ἀνωτέρω παραδείγματα δεικνύουσιν ὅτι ἡ μὲν ὑποτακτικὴ ἐν τούτοις τίθεται μετὰ τοῦ ἄν, ἡ δὲ εὐκτικὴ ἄνευ τούτου· ἀπαντῶνται ὅμως καὶ παραδείγματα ἐναντίας χρήσεως ὑποτακτικῆς ἄνευ τοῦ ἂν καὶ εὐκτικῆς μετ' αὐτοῦ». Καὶ § 134. Ἡ εὐκτικὴ μετὰ τοῦ ὅς ἄν, ἱστορικοῦ χρόνου ἡγουμένου εἶναι ἐκ τῶν ἀμφιβαλλομένων· ἀπαντῶνται ὅμως τοιαύτης χρήσεως ἀνύποπτα παραδείγματα ἐν τῷ διηγηματικῷ λόγῳ· Σωκράτης τοὺς λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθὸν (Ξ. Ἀπ. Α', β', 6).—Ἐλογιζόμην, εἰ ταῦτα προθύμως σοι συλλάβοι με, ὡς οἰκεῖός τέ σοι ἐσοίμην, καὶ ἐξέσοιτό μοι διαλέγεσθαί σοι, ὁπόσον ἂν χρόνον βουλοίμην (Ξ. Π. Ζ', ε', 49)». Ἀλλ' ἀμφότερα τὰ χωρία τοῦ Ξενοφῶντος προηνέχθησαν ἄνευ τοῦ μορίου ἂν ὑπὸ τοῦ Λ. Δινδορφίου (Ξενοφ. Ἀπ. σελ. 12 καὶ Κύρ. Παιδ. σελ. 356. Ox).

Ἱκανὰ παραδείγματα τῆς ὀρθῶς ἐχούσης χρήσεως παρέθετο ὁ Ἀσώπιος. Δύναται δέ τις καὶ ἄλλα πολλὰ νὰ καταλέξῃ ἔκ τε τοῦ ποιητικοῦ καὶ τοῦ πεζοῦ λόγου. Μνημονεύομεν ἐκ τούτων ἔνια. Ἰλ. Β', 188 «Ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη, τὸν δ' ἀγανοῖς ἐπέεσσιν (Ναύκιος ἀγανοῖσι ἔπεσσιν) ἐρητύσασκε παραστὰς» καὶ 198 «Ὃν δ' αὖ δήμου ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι, τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ», Θουκυδ. Α' 138. «Καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε, ὧν δὲ ἄπειρος εἴη κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο.» Πλάτ. Ἀπολογ. 21 «Ἴστε δήπου οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειεν κτλ. Καὶ αὐτὸς δ' ὁ ἐκδότης ἐπιλαθόμενος, ὡς φαίνεται, τῆς διορθωτικῆς αὐτοῦ τέχνης ἐξέδωκεν ἀλλαχοῦ ὀρθῶς ἄνευ τοῦ ἄν, οἷον 28d ἔπραττε μὲν ὃ προστάξειεν ὁ παιδαγωγός, 302f αὐταὶ δι' ἑαυτῶν ἔπραττον ὅτου δεηθεῖεν παρὰ δικασταῖς καὶ ἄρχουσιν, 837b ἐπὶ τὸ γράφειν ἃ διανοηθείη ἐτράπετο κλπ. κλπ. Οὕτω δι' εἰκασίας τοῦ ἐκ-

δότου γίνεται ὁ λόγος τοῦ Πλουτάρχου σόλοικος, καί, ὡσεὶ μὴ ἤρκουν οἱ σολοικισμοὶ καὶ οἱ βαρβαρισμοὶ ὅσους ἐνεκόλαψαν αὐτῷ οἱ ἀμαθεῖς βιβλιαγράφοι, ἔρχεται νῦν ἐκδότης καὶ οὗτος ἀτυχῶς Ἕλλην καὶ καθηγητὴς καὶ ὑποβάλλει αὐτῷ καὶ ἄλλους!

Ὁμοίως σολοίκως ἐξέδωκεν 932c «ἐκείνοις γὰρ μόνοις ἔκλειψίς ἐστιν, ὧν ἂν ἡ σκιὰ τῆς σελήνης καταλαβοῦσα τὴν ὄψιν ἀντιφράξαι πρὸς τὸν ἥλιον, ἀντὶ «... ἐστιν, ὧν ἂν ... ἀντιφράξῃ...» καὶ Ζ' 67, 7 ἐξ εἰκασίας (!), δεῖ δ' ἐκτείνειν ἐπὶ τὰ ὅμοια τὸν λόγον, ὁσαοῦν ἂν ἀπόλοιτο διὰ τὸν γείτονα» ἀντὶ ὁσαοῦν (1) ἂν ... ἀπόληται.

337e Ὁμοίως σολοίκως ἐξέδωκεν ὁ ἐκδότης τὸν στίχον τοῦ Ἀριστοφάνους «καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη» γράψας ἐπεί κεν ἀναθείη ἀντὶ ἀναθείῃ (ἢ ὀρθότερον ἀναθήῃ) ὅπως ὁ Blaydes ἐν Ἱππεῦσι 1056 ἀποκατέστησεν. Ὡσαύτως 773 b..., «θεός ἀνεῖλε μῆνιν εἶναι Ποσειδῶνος οὐκ ἀνήσοντος, ἕως ἂν τὸν Ἀκταίωνος θάνατον μετέλθοιεν». Καὶ τἀνάπαλιν τὸ ἕως (ἄχρι οὗ) ἄνευ τοῦ ἂν μεθ' ὑποτ., οἷον 40a ἕως ἀπεργάσηται, 52 f ἄχρι οὗ... παραδῷ καὶ γένηται, 79a ἄχρι οὗ ... ἄρξηται, 263 c ἄχρι οὗ παρέλθῃ, 321 d ἕως ... γένωνται καὶ λάβωσιν, 361 c ἄχρι οὗ ... ἀπολάβωσι, 391 e ἄχρι οὗ ... παράσχῃ, 417 e ἄχρι οὗ λάβωσι καὶ τύχωσιν, 495f ἄχρι οὗ ... δέηται, 511 f μέχρι οὗ... ἀπείπωνται, 513 b, ἕως φθάσῃ ἐκπολεμωθεῖσα κτλ. κλπ.

Ἀφοῦ δὲ τοσαῦτα ἐξέδωκεν ἄνευ τοῦ ἄν, εἰκάζει ἐν 475f «ἕως δ'ἂν ὑπέρσχῃ», ἀντὶ «ἕως .. ὑπέρσχῃ», καὶ 288c «ἕως δ'ἂν ἀπολυθῇ», ἀντὶ «ἕως δ' ἀπολυθῇ». Ἀλλ' ἂν τὰ πολλὰ τὰ ἄνευ τοῦ ἂν χωρία ἔχωσι καλῶς, πρὸς τί ἡ δι' εἰκασίας μεταβολὴ τῶν δύο τούτων; εἰ δὲ κακῶς, διατί δὲν διωρθώθησαν ὁμοίως πάντα;

Ὁμοίαν ἀνακολουθίαν δεικνύει καὶ ἐν 1140 f «εἴποι τις, ὦ τᾶν, οὐδὲν ὑπὸ τῶν ἀρχαίων προσεξεύρηται»· ἐν τούτῳ ὁ ἐκδότης σημειοῦται «fort. supplendum μουσ[ΑΝ.Ἴσως δ'] ἊΝ εἴποι τις κλπ.». Ἀλλ' ἐν 1146 a «καθόλου δ' ὅ γε νοῦν ἔχων οὐ τῶν ἐπιστημῶν ἔγκλημα δήπου θείη, εἴ τις αὐταῖς μὴ κατὰ τρόπον χρῷτο» ἐκδοὺς ἄνευ τοῦ ἂν οὐδὲν παρετήρησεν. Ὁμοίως ἐν Ζ' 448, 25 «Ἔστι δὲ παρ' αὐτῷ πάσης ἡλικίας κατορθώματα, ὑφ' ὧν πᾶς ὁστισοῦν ἐπαρ-

(1) Τὸ ὁσαοῦν εἶναι τοῦ ἐκδότου εἰκασία, ἀλλὰ διατί νὰ μὴ γράψῃ ὁσοῦν, ἀφοῦ γράφει ὁποιοῦν;

θείη» καὶ Ζ' 198, 4, τί γὰρ βλάψειέν που πλείω χορηγεῖν; καὶ 206, 6 οὐδέν ἐστιν ὅπερ πράγματα παρέχοι τῇ εὐγενείᾳ. Ἀλλ' ἐρωτᾶται: Ἐπιτρέπεται νὰ καταλείπωνται ταῦτα παρὰ συγγραφεῖ οἷος ὁ Πλούταρχος, καὶ ταῦτα, ἀφοῦ, ὅπως κατωτέρω θὰ ἴδωμεν, ὁ ἐκδότης ἀγωνίζεται νὰ καταστήσῃ τὸν λόγον αὐτοῦ σχεδὸν ἀκραιφνῶς Ἀττικόν;

Ἄγνοιαν τῆς ἐν τοῖς μεταγενεστέροις χρόνοις συντάξεως τοῦ ἂν ἐλέγχει ὁ ἐκδότης καὶ ἐν Ζ' 12, 8 «ταύτῃ δοξάσαι, ᾗπερ ἂν καὶ ζητοῦσι φανεῖται πιθανώτερον», ὅπου ἀντὶ τοῦ φανεῖται εἰκάζει φαίνηται· ἀλλ' ἐπειδὴ τὸ πόνημα εἶναι οὐχὶ γνήσιον ἀλλ' ἄλλου τινὸς μεταγενεστέρου, ἐπ' αὐτῶν δὲ ἡ σύνταξις αὕτη τοῦ δυνητικοῦ ἂν μετὰ μέλλοντος ἦν ἐν χρήσει, οὐδὲν μετακινητέον· πρβλ. Κόβητον ἐν Λογίῳ Ἑρμῇ Α' 229 σημ. Πρόσθες ὅτι ὁ νοῦς τοῦ χωρίου ἀλλοιοῦται παντάπασιν.

Ἐν 705 f ἐξέδωκεν «. . ἂν διὰ μιᾶς οἱ πολέμιοι παρελθόντες ἔνδον εἰσὶν» οὐδὲν παρατηρήσας ἢ μετακινήσας, ὁμοίως καὶ 1119 e ὅταν τὰς . . προσηγορίας συναιρεῖτε, καὶ Ζ' 288, 14 ὅταν ἔσῃ μάτην φρονῶν, ὁμοίως κατέλιπεν ἐν 1109 e, . . ἂν περ εἰλικρινὲς . . . ἀπέλιπον», εἰ καὶ ὁ Madwig καὶ ὁ Usener δι' εἰκασιῶν ἐξέβαλον τὸν σολοικισμόν. Ὁμοίως γράφει 1111 c ἂν μήτ' ἦλθον ἔχουσαι θερμότητα μήτ' ἐγένοντο . . », εἰ καὶ ὁ Usener τρέψας τὸ ἂν εἰς αἳ (ἄτομοι) ἀπήλλαξε σολοικισμοῦ τὸν συγγραφέα, ὃν ὁ Ἕλλην ἐκδότης ἐγκαταλείπει σολοικίζοντα.

Ὡσαύτως ἀναξία τοῦ Πλουτάρχου εἶναι ἡ σύνταξις τοῦ ὅπως . . οὐ μεθ' ὑποτακτικῆς, 1394 d δέονται . . . καὶ ἀντιβολοῦσιν, ὅπως οὐ ζηλώσῃ τὴν ἐλευθέριον καλουμένην παιδείαν (λόγος χασμωδίας δὲν ἐπέβαλε τὸ οὐ ἀντὶ τοῦ μή). Τὸ ὀρθὸν εἶναι δέονται καὶ ἀντιβολοῦσιν, ὅπως οὐ ζηλώσει τὴν ἐλευθέριον κλπ., διότι ὁ Πλ. φιλεῖ τὴν σύνταξιν τοῦ ὅπως οὐ μετὰ μέλλοντος κατόπιν ῥημάτων φροντίδος, ἀγῶνος κττ. δηλωτικῶν, πρβλ. 31 c φυλάττεσθαι . . . ὅπως οὐδ' ἄκων τῷ πάθει περιπεσεῖται, 129 d φυλάττεσθαι . . . ὅπως οὐ περιπεσεῖται τοῖς αὐτοῖς οὐδ' αὐτὸς εἰς τὴν κλίνην καταπεσὼν ὑμνήσει ποθῶν τὴν πολυτίμητον ὑγίειαν», 186 e σκοπεῖν ὅπως οὐκ ἀποδώσει, 412 f καὶ ὅπως οὐ συνάξετε τὰς ὀφρῦς ἐπιχειροῦντες, 407 e φυλάττειν, ὅπως ὑπ' ἀνθρώπων οὐκ ἀπολοῦνται πονηρ 702 e πολὺν σκεπτόμενος χρόνον, ὅπως οὐ κλέψουσι . . . ., 705

καὶ ὅπως οὐχ ἁλώσονται προσέχοντες, 825a προσήκει τοῦτ' ἰᾶσθαι καὶ προκαταλαμβάνειν, ὅπως τὰ μὲν οὐδ' ὅλως ἔσται, . . . τὰ δ' οὐ λήψεται . . . 865b οὐδ'. . . ἐφρόντισεν . . . ὅπως αὐτὸς . . . οὐ φανεῖται, 1122 πάντα πράττων, ὅπως οὐ διαφεύξεται αὐτόν· πρβλ. καὶ 980f προνήχεται τὸν δρόμον ἐπευθύνων, ὅπως οὐκ ἐνσχεθήσεται οὐδὲ κττ. κττ. Ἐν τοῖς τοιούτοις λόγοις κεῖται ἀλλαχοῦ παρὰ τῷ Πλουτάρχῳ κατὰ τοὺς δοκίμους τὸ ὅπως μετὰ τοῦ μή, μηδέ, μηδὲν καὶ μέλλοντος, οἷον 186c συντιθεμένων ὅπως μηδὲν . . . ἀνοίσουσιν, 713d σκοπῶμεν, ὅπως . . . μηδὲν ἐπάξομεν, 783c ὅπως μηδέτερος ἀπολείψει . . . μηδὲ . . . μεταβαλεῖται, 793a σκοπῶμεν . . . καὶ φιλοσοφῶμεν, ὅπως μηδὲν ἀπρεπὲς μηδὲ βαρὺ τῷ γήρᾳ προσάξομεν ἀγώνισμα κττ.· πρβλ. καὶ Aken, Die Grundzüge der Lehre von Tempus und Modus σελ. 123. Ἡ σύνταξις ἄρα τοῦ «δέονται ὅπως οὐ ζηλώσει» εἶναι Ἑλληνική, τοὐλάχιστον Πλουτάρχειος, τοὐναντίον δὲ ἡ σύνταξις δέονται ὅπως οὐ ζηλώσῃ, ἐν ᾗ κεῖται τὸ ὅπως οὐ σὺν ὑποτακτικῇ, δὲν εἶναι Ἑλληνική, ἀλλ' ἁπλῶς Βερναρδάκειος.

Τοῖς πᾶσι γνωστὴ εἶναι ἡ σύνταξις τοῦ μὴ ἀντὶ τοῦ ἵνα μή, ὅπως μὴ κττ., οἷον «μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς»· πρβλ. Κόντον ἐν Λογίῳ Ἑρμῇ Α' 155. Ὁ ἐκδότης ἐν Τομ. Α' σ. ξε' γράφει «μὴ quoque pro ἵνα μὴ hiatus causa, nisi fallor, nonnunquam adhibuisse videtur, velut p. 142a παῖξαί τι, μὴ φανῇ . . ., 168c ἀντιτάττεσθαι μὴ δόξῃ, 1034a γενέσθαι, μὴ δόξωσι, 1038f ἀφίημι, μὴ δόξω κλπ.». Ἀλλ' ὅτι ὁ Πλούταρχος οὐχὶ πάντοτε, ἵνα φύγῃ τὴν χασμωδίαν, ἀλλ' ἀρχαίᾳ χρήσει ἀκολουθῶν μεταχειρίζεται τὸ μὴ ἀντὶ τοῦ ἵνα μή, ὅπως μὴ κτλ., ἠδύνατο καὶ ὁ ἐκδότης νὰ μάθῃ, ἂν ἐμελέτα μετὰ προσοχῆς αὐτὸν τὸν συγγραφέα, ὃν ἐξέδωκεν· πρβλ. 986b ἐκστήσομαι ὑμῖν, μὴ καὶ παρὰ γνώμην ἐμοὶ δοκῇ χαριζόμενος διαλέγεσθαι, Ζ' 92, 3 μὴ ἀτελῆ δεῖ τὸν οἶκον ἐᾶν, μὴ ψόγον ἐπαγάγῃς παρ' ἄλλων, Ζ' 176, 9 . . . φυλάττειν, μὴ λάθῃ θηρίον γενομένη κλπ. Ἀλλὰ τὸ παραδοξότερο[ν] [ε]ἶναι ὅτι ὁ ἐκδότης ἐν 986d ἀντὶ τοῦ σύνει, μή σε ποιήσῃ... εἰ[σάγ]ει, σύνει, ἵνα μή σε ποιήσῃ..., **εἰσάγων οὕτω καὶ τὴν δι[ανόητον] χασμωδίαν**, ὁμοίως εἰσάγει τὸ ὡς καὶ χασμωδίαν ἐν [..]7a χρῆσαι σεαυτῷ, ὡς μὴ δοκῇς ἀπομαλθακίζεσθαι, ἀντὶ

«χρῆσαι σεαυτῷ καὶ μὴ δοκῆς . . .», ἔνθα οὐδὲν ἄλλο ἢ τὸν καὶ ἔδει νὰ ἐξαλείψῃ.

Ἀπόλυτον ὀνομαστικὴν ἐξέδωκεν ἐν 191d «κατὰ τοῦτο παρατάξας τὸ διαλεῖπον καὶ πρὸς ἴσους ἴσοι ἀγωνισάμενοι ἐνίκησαν» ἀντὶ τοῦ «παρατάξας... καὶ πρὸς ἴσους ἴσοις ἀγωνισάμενος ἐνίκησεν», ὅπως ὁ Βάσης ἐν Ἀθηνᾶς Γ' 271 ἔδειξεν. Ἐν 143f «ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται...»· ἵνα εἶναι Ἑλληνικὴ ἡ σύνταξις, γρ. πῦρ ἐπὶ πυρὶ γένηται, ὅπως ὁ Βάσης Ἀθ. Β' 167 εἶδε παραπέμψας κα. εἰς 123f. Ἐν 192f ἐξέδωκε σολοίκως «ἐκέλευσε τοὺς μὲν ἐπὶ δεξιᾷ τοῦ βήματος θεῖναι, τοὺς δὲ ἐπ' ἀριστερᾷ», διότι λέγεται μὲν ἐν δεξιᾷ, ἐν ἀριστερᾷ, ἀλλ' ἐπὶ δεξιά, ἐπ' ἀριστερά (πρβλ. Θησ. Στεφάν. ἐν λ. ἀριστερά). Ἐν Ζ' 334, 3 ἐξέδωκεν «ἀλλ' οὐ πρέπον ὑπολαμβάνειν θεοὺς ὑπὸ ἀνθρώπων κεκρίσθαι, οὔτε ὑπὸ Ὁμήρου δι' ἄλλων παρίσταται τοῦτο». Καὶ 109e «ὥσπερ γὰρ οὔτ' ἀγαθὸν ἡμῖν ἔπεστιν οὕτως οὐδὲ κακόν», καὶ 409f «οὔτε γὰρ ἦν γαίης μέσος ὀμφαλὸς οὐδὲ θαλάσσης», 390a «ᾗ τὸ κύκλῳ περιφέρεσθαι μόνῃ τῶν σωμάτων κατὰ φύσιν ἐστίν, οὐκ ἐξ ἀνάγκης οὔτ' ἄλλως συμβεβηκός». Ἡ σύνδεσις αὕτη διὰ τοῦ οὐκ-οὔτε, οὔτε-οὐδὲ δὲν εἶναι ἀξία τοῦ Πλουτάρχου, ἀλλ' ὁ ἐκδότης οὐδὲν τούτων φαίνεται αἰσθανόμενος.

Πιθανὸν νά μοι παρατηρήσῃ τις ὅτι ταῦτα εἶναι πράγματα πασίγνωστα· ἀλλὰ μήπως ἐγὼ παριστῶ αὐτὰ ὡς ἀνακαλύψεις; ἀκριβῶς τοῦτο λέγω καὶ ἐγὼ ὅτι τὰ πασίγνωστα ταῦτα δὲν ἔχει ἐν τῇ συνειδήσει ἔμπεδα καὶ ἀμετακίνητα, ὅπως ἔδει ὁ ἐκδότης, ἐντεῦθεν διαφθείρει τὸν λόγον τοῦ συγγραφέως εἰσάγων δι' εἰκασιῶν σολοικισμοὺς εἰς αὐτὸν ἢ ἕνεκα ἀμελείας ἢ ἀγνοίας καταλείπων ὅπως ἔχουσι τὰ προφανῶς ἡμαρτημένα.

Ἐν Τομ. Δ' σελ. νε' μέμφεται τὸν Wilamowitz εἰπόντα «ταλαίπωρε, θνητέ, ὧν οὐδὲν ὀιζυρώτερον», διατεινόμενος ὅτι εἶναι πολλαχῶς πλημμελῆ, ἤτοι διότι ἐτέθη κόμμα μετὰ τὸ ταλαίπωρε, διότι τὸ πληθ. ὧν δὲν ἔχει ποῦ ν' ἀναφέρηται κλπ. Ἀλλὰ περὶ μὲν τοῦ κόμματος θὰ λεχθῶσι κατόπιν τὰ προσήκοντα, περὶ δὲ τοῦ πληθυντικοῦ πρβλ. Ὁμ. Ὀδ. ζ, 150 εἰ μέν τις θεός ἐστι, τοὶ οὐρανὸν [illegible] ἔχουσιν, π, 183, ἦ μάλα τις θεός ἐστι, τοὶ οὐρανὸν εὐρὺν ἔχο[illegible]. Ξ 409-10 τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴα[illegible] [illegible]μαδίῳ, τὰ ῥα πολλὰ . . . ἐκυλίνδετο . . . βεβλήκει.

Ω 650 ἐκτὸς μὲν δὴ λέξο . . μή τις Ἀχαιῶν ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ βουλὰς βουλεύουσι παρήμενοι.

δ 177 μίαν πόλιν ἐξαλαπάξας, αἳ περιναιετάουσιν, ἀνάσσονται δ' ἐμοὶ αὐτῷ.

μ 97 εἴ ποθι μεῖζον ἕλῃσιν κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.

Εὐρ. Ἑλ. 439 «ἢ καταθανεῖν Ἕλλην πεφυκώς, οἶσιν οὐκ ἐπιστροφαί. Μηδ. 1339 - 40 οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ γῆμαί σε.

Λυσ. ὑπὲρ τοῦ Ἐρατ. φόν. 35 «ἐὰν δὲ γυναῖκα (αἰσχύνῃ), ἐφ' αἷσπερ κλπ.».

Πλάτ. Πολιτ. 554 a «θησαυροποιὸς ἀνήρ, οὓς δὴ καὶ ἐπαινεῖ τὸ πλῆθος». Ἰδὲ καὶ Σταλβαυμ. αὐτ. Σχοίμανν. Ἰσαι. 466.

Παυσ. Ἀρκαδ. Ζ, 4 «παρὰ δὲ τὴν Ἄρτεμιν κατάκειται κύων, οἷαι θηρεύειν εἰσὶν ἐπιτήδειαι» καὶ Φωκ. Δ, 6 «Κλέων δὲ ἀνὴρ Μάγνης, οἳ τῷ Ἕρμῳ προσοικοῦσιν».

Κλημ. Ἀλεξ. σ. 253 (Α, 328) «οὐ γὰρ γυναικὸς ἀλλ' ἑταίρας τὸ φιλόκοσμον, αἳ τῆς . . οἰκουρίας ὀλίγον φροντίζουσιν.

Κλημ. Ρωμ. σ. 127 ἄνθρωπον, οἵτινες.

Πλούτ. Ἠθ. 534 c. Καὶ μὴν ἐάνπερ ὁ δυσωπῶν ἔνδοξος ᾖ καὶ δυνατὸς (οἳ δὴ μάλιστα δυσπαραίτητοι καὶ δυσαπότριπτοι . . . εἰσίν).

Ἄλλα παραδείγματα εἰς ἑκατοντάδας ἀριθμούμενα εὑρίσκω ἐν ταῖς σημειώσεσι τοῦ Κόντου, ἐλπίζω δὲ ἐν προσεχεῖ τῆς Ἀθηνᾶς τεύχει νὰ δημοσιευθῶσιν ἰδιαιτέρως, ἀφοῦ πρόκειται νὰ διδάξωσι πρᾶγμα γνωστὸν μὲν ἄλλως τοῖς φιλολόγοις, ἄγνωστον δέ τισι καὶ ἰδίᾳ τῷ ἐν τῷ Πανεπιστημίῳ καθηγητῇ τῶν Ἑλληνικῶν γραμμάτων.

Ἰδιαιτέρας προσοχῆς ἀξία φαίνεταί μοι ἡ σύνταξις τοῦ χωρίου 935 f «ὅρα δὴ πρῶτον, ἂν ᾖ δυνατὸν τῇ σελήνῃ τηλικαῦτα βάθη καὶ τηλικαύτας εἶναι τραχύτητας, ὥστε σκιὰν ποιεῖν τοσαύτην, ἔπειτα κλπ.». Λέγω τοῦ χωρίου τούτου τὴν σύνταξιν ἰδιαιτέρας προσοχῆς ἀξίαν, διότι ὁ ἐκδότης διὰ μακρῶν ἐπεχείρησε πέρυσιν ἐν τῇ Ἐπετηρίδι τοῦ Παρνασσοῦ σελ. 83 κἑξ. ν' ἀποδείξῃ, ὅτι ἡ σύνταξις τοῦ ἀ ·ματικοῦ λεγομένου ἐάν, ἂν μεθ' ὑποτακτικῆς, δὲν εἶναι ὀρθή, ὅτ διά τινων ἐκ δοκίμων συγγραφέων παραδειγμάτων ἔδειξεν ὁ Κ - Καὶ παράδειγμα μὲν τῆς μεθ' ὁριστικῆς συντάξεως τοῦ ἀπο-

ρηματικοῦ ἐάν, ἂν οὐδὲ ἓν φέρει, θεωρίας δὲ μόνον ἀσυστάτους καὶ ἀνισχύρους προφέρεται· ἔλαθε δ' ἑαυτὸν ὅτι καὶ αὐτὸς οὗτος ἐξέδωκε πρότερον παρὰ Πλουτάρχῳ τὸ ἀπορηματικὸν τοῦτο ἂν μεθ' ὑποτακτικῆς. Καὶ νῦν παραβάλλων τὸ χωρίον τοῦτο «ὅρα, ἂν ᾖ δυνατὸν . . .» πρὸς τὰ ἐν σελ. 91 τῆς 'Επετηρίδος εἰρημένα ὑπὸ τοῦ κ. Β. «ἂν κατὰ τὸν κ Κόντον γράψωμεν: «ἀμφιβάλλω ἂν τὸ πρᾶγμα ἔχῃ οὕτως» καὶ «σκοπεῖτε ἂν τοῦτο ᾖ ἀληθές», τίς θὰ ἦνε ὁ ὑποκείμενος εὐθὺς λόγος; Ἡ ὑποτακτική; ἀλλ' ἡ ὑποτακτικὴ ἐνταῦθα δὲν δύναται νὰ τεθῇ ἐν ἀνεξαρτήτῳ λόγῳ ὡς παρ' Ὁμήρῳ», παραβάλλων, λέγω, ταῦτα ἐρωτῶ, πῶς συνέταξε τὸ χωρίον τοῦ Πλουτάρχου «ὅρα ἂν ᾖ δυνατόν»; Ὁ κ. Β. διδάσκει ὅτι τὸ ἐάν, ἂν «ἀπαμβλυνθείσης καὶ ἐπισκοτισθείσης τῆς τοῦ ἀοριστολογικοῦ ἂν (=κεν) ἐννοίας, διέσωσε (sic) μόνην τὴν τοῦ ἀπορηματικοῦ εἰ, ὥστε ἐν τοῖς ὑπὸ τοῦ κ Κόντου ἀναφερομένοις παραδείγμασιν ὁ ἐὰν ἰσοδυναμεῖ σχεδὸν πρὸς τὸν ἀπορηματικὸν εἰ, εἶνε δὲ λείψανον παλαιοτέρας χρήσεως, διασωθὲν μόνον ἐπὶ τούτων τῶν ρημάτων» καὶ «δύναταί τις νὰ εἴπῃ ὅτι ἡ χρῆσις τοῦ ἐὰν προέρχεται πιθανῶς ἐκ παλαιοτέρων χρόνων, ἀλλ' εἶνε δλως ἀπημβλυμμένη καὶ ἐπεσκοτισμένη οὕτως, ὥστε ἐκ τοῦ ἐὰν (εἰ + ἂν) μόνον ὁ εἰ ἔχει τὴν δύναμίν του, ὁ δὲ ἂν οὐδεμίαν». Ἀλλὰ ταῦτα εἶναι οὕτως ἄτοπα καὶ ἀντιφατικὰ («σχεδὸν ἰσοδυναμεῖ πρὸς τὸν εἰ» καὶ ἔπειτα «μόνον ὁ εἰ ἔχει τὴν δύναμίν του, ὁ δὲ ἂν οὐδεμίαν), ὥστε καὶ αὐτὸς ὁ προενεγκὼν αὐτὰ συνειδώς, ὡς φαίνεται, τὸ ἀσθενὲς αὐτῶν προσέθηκε τὸ πιθανῶς. Ἀλλ' ἂν ἐν τῷ ἐάν, ἂν μόνος ὁ εἰ ἔσῳζε τὴν ἑαυτοῦ δύναμιν ἐπὶ Πλάτωνος, Ξενοφῶντος καὶ Δημοσθένους, ὁ δὲ ἂν μηδεμίαν, διατί δὲν συντάσσεται πρὸς ὁριστικήν; Καὶ πῶς ὁ ἐκδότης δύναται ν' ἀποδείξῃ τὴν δισχύρισιν αὐτοῦ ὅτι ἡ χρῆσις τοῦ ἐὰν προέρχεται πιθανῶς ἐκ παλαιοτέρων χρόνων, ἀλλ' εἶναι ὅλως ἀπημβλυμμένη καὶ ἐπεσκοτημένη κλπ.; Τὴν ἐπισκότησιν τῆς ἐννοίας τῶν μορίων ἐννοοῦμεν ἡμεῖς κατὰ πρῶτον λόγον ἐκ τῆς ἀλλοιωθείσης συντάξεως αὐτῶν· ἐφ' ὅσον δ' ὅμως ταῦτα συντάσσονται κατὰ τὸν αὐτὸν ἀεὶ τρόπον, οὐδεὶς ἀνθρώπων δικαιοῦται νὰ διισχυρίζηται ὅτι ἐπεσκοτήθη ἡ σημασία αὐτῶν. Οὕτω λ. χ. ἐν τοῖς μεταγενστέροις χρόνοις τὸ ἐὰν παραλαμβάνεται καὶ ἀντὶ τοῦ ἀοριστολογικ λεγομένου ἂν, ἤτοι συγχυθέντος τοῦ ὑποθετικοῦ ἂν τῷ ἀοριστολ

γικῷ ἂν, ἐταυτίσθη τούτοις καὶ τὸ ἐὰν, τὸ ἰσοδύναμον τῷ ἄ῎ν. Ἐντεῦθεν παραλαμβάνεται καὶ ἀντὶ τοῦ ἀοριστολογικοῦ λεγομένου ἄν, ἤτοι καὶ ἐν τοῖς ἀναφορικοῖς καὶ χρονικοῖς λόγοις τοῖς καθ' ὑποτακτικὴν ἐκφερομένοις, ὃ ἐὰν θέλητε, ὅπου ἐὰν εἰσέλθητε κλπ. Τότε ὄντως λέγομεν ὅτι ἠμβλύνθη καὶ ἐπεσκοτήθη ἡ δύναμις αὐτοῦ· ἀλλ' ἐπὶ Πλάτωνος καὶ Δημοσθένους δὲν δυνάμεθα τοῦτο, ἂν μὴ θέλωμεν νὰ διατεινώμεθα ἀναπόδεικτα καὶ ψευδῆ. Καὶ τέλος παρατηρῶ, ὅτι ἂν ἀληθῶς ἐν αὐτοῖς τοῖς δοκίμοις χρόνοις τὸ ἐὰν ἄ῎ν ἐξησθενώθη τοσοῦτον ὥστε κατέστη μὲν ἰσοδύναμον τῷ εἰ, συνετάσσετο δὲ πάντοτε πρὸς ὑποτακτικήν, διατί δὲν ἐπιτρέπεται καὶ ἡμῖν σήμερον νὰ ποιῶμεν ὁμοίως;

Γ'. Σφάλματα περὶ τὰς διαλέκτους.

Καὶ τὰ εἰς τὴν Ἰωνικὴν καὶ τὰς λοιπὰς διαλέκτους σφάλματα αὐτοῦ εἶναι στοιχειώδη καὶ αὐτόχρημα ἀσύγγνωστα. Οὕτω λ. χ. γράφει μητίΣΣομαι ἐν Ζ' 247, 23, ὅπερ ἄτοπον, ἐπειδὴ τὸ ῥῆμα εἶναι μητίομαι (πρβλ. Κόντον, Ἐφημ. Φιλομαθῶν 1879 σελ. 100). Ὁμοίως ἐξέδωκε πλημμελῶς ἐάΣΣατε Ζ' 452, εἰσάγων οὕτως εἰς τοὺς Ὁμ. στίχους (Ο 348 καὶ η 215) ἀνυπάρκτους τύπους.

446 d ἐξέδωκε τὸν Ὁμ. στίχον (μ 169) «ἔπλετο νηνεμίη, κοίμισσε δὲ κύματα δαίμων», ἀντὶ κοίμησε διὰ τοῦ η καὶ ἑνὸς σ ἀγνοῶν, ὡς φαίνεται, ὅτι, καθ' ἃ ἤδη οἱ παλαιοὶ Γραμματικοὶ παρετήρησαν, τὸ κοιμίζω δὲν εἶναι Ὁμηρικόν, ἀλλὰ τὸ κοιμάω. Οὕτω λ. χ. διδάσκεται ἐν τοῖς Ὁμηρ. Σχολίοις (εἰς Π 524) «Αἰολικὸν κοίμησον ἀντὶ τοῦ κοίμισον»· διδάσκει δὲ καὶ ὁ Εὐστάθιος ῥητῶς 1474, 3 ὅτι «διὰ τοῦ η γράφεται ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων» καὶ ἐν 905, 7 ὅτι τὸ κοιμίζειν οὐχ Ὁμηρικόν. Οὐδεὶς ἄρα ἐκδότης δύναται νὰ καταλίπῃ τὸ ἀλλότριον τοῦ Ὁμήρου κοιμίζειν ἐν Ὁμηρ. στίχῳ. Δὲν δύναται δ' ὁ ἐκδότης νὰ διατείνηται ὅτι τοῦτο κατέλιπεν οὕτως, ἐπειδὴ οὕτως ἔγραψεν ὁ Πλούταρχος· διότι πρῶτον οὐδεὶς δύναται ν' ἀποδείξῃ ἐπ' ἀληθείας τοῦτο, καὶ ἐν ἀμφιβολίᾳ πᾶς ἔφρων θὰ θελήσῃ μᾶλλον νὰ γράψῃ ὅπως ἡ ἀρίστη παράδοσις διδάει καὶ ὅπως νῦν φέρεται ἐν ταῖς Ὁμηρ. ἐκδόσεσιν ἢ ν' ἀκολουθῇ θανῶς σφάλμασι τῶν μεταγραφέων. Ἔπειτα ὁ Πλούταρχος ὑποβι-

βάζεται οὕτως εἰς τὴν τάξιν τῶν ἀθλιωτάτων μεταγραφέων, οἵτινες ἄπειροι ὄντες τῆς Ὁμηρικῆς γλώσσης εἰσῆγον εἰς αὐτὴν ἢ παρεδέχοντο ὡς καλῶς ἔχοντα ἐν αὐτῇ καὶ ὅσα μεμαρτυρημένως δὲν εἶναι Ὁμηρικά. Πρόσθες ὅτι ἄνευ λόγου καθίσταται ἡ Ὁμηρικὴ διάλεκτος οὕτω ποικιλωτέρα καὶ ἀνωμαλωτέρα, ὅπερ προφανῶς ἐπιβλαβές.

442 e ἐξέδωκεν «ὦ; τῆς τήκετο καλὰ παρήια δάκρυ χεούσης» ὑφ' ὃ σημειοῦται «δάκρυ χεούσης*: δακρυχεούσης»· ἀλλ' ἀλλαχοῦ βαίνει ἄλλην ὁδόν, διὸ ἐν 26 c ἐξέδωκεν «Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας οἴω» ἀντὶ πάλιν πλαγχθέντας, ὅπως κατὰ τὸ παράγγελμα τοῦ Scaliger γράφουσι πάντες οἱ νεώτεροι ἐκδόται.

1104 e γράφει «αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου» Χ 390, εἰ καί, ὡς γνωστόν, οὐχὶ κἀκεῖθι ἀλλὰ καὶ κεῖθι ἔλεγεν ὁ Ὅμηρος· πρβλ. Σχολ. α 177 ἐπεὶ καὶ κεῖνος] ἐκ πλήρους ὁ καί· τῇ γὰρ ἐκεῖνος οὐ χρῆται, εἰ μὴ ἀναγκασθῇ ὑπὸ τοῦ μέτρου. Οὕτως Ἀρίσταρχος. Ο, 45 καὶ κείνῳ, ἐκ πλήρους Ἀρίσταρχος τὸν καὶ σύνδεσμον. 179 καὶ κεῖνος] ἐκ πλήρους τὸν σύνδεσμον Ἀρίσταρχος. Ὁμοίως Π 648 ἐκ πλήρους καὶ κεῖνον αἱ Ἀριστάρχου. Β 402 κἀκεῖθι] Ἀρίσταρχος μετὰ τοῦ ι, καὶ κεῖθι· Μ 348 ἐκ πλήρους τὸν σύνδεσμον καὶ κεῖθι· εἰ δέ σφιν καὶ κεῖθι] ὅτι Ζηνόδοτος γράφει «εἰ δέ σφιν κἀκεῖσε» κτλ. πρβλ. La Roche Textkritik σ. 247.

Ἐν Ζ' 343, 14 γράφει «καὶ πεδία λωτεῦντα ἀντὶ τοῦ λωτεύοντα»· δὲν θὰ ἐξετάσω, ἂν ἡ γραφὴ λωτεῦντα, ἣν ἡ Μασσαλιωτικὴ ἔκδοσις παρεῖχεν ἢ ἡ ἐκ τοῦ Ἀριστάρχου κατερχομένη καὶ σήμερον προτιμωμένη λωτοῦντα εἶναι γνησία· τοσοῦτο μόνον παρατηρῶ ὅτι ὁ Πλούταρχος δὲν ἔγραψε «λωτεῦντα ἀντὶ λωτεύοντα», ἀλλ' ὅπως ἤδη ὁ Lobeck ἐν Element. Α' 518 παρετήρησε «λωτεῦντα ἀντὶ λωτέοντα»· ὅτι τὸ ευο δὲν ἠδύνατο νὰ συναιρεθῇ εἰς ευ, ἠπίστατο καλῶς ὁ Πλούταρχος, ἀγνοεῖ δὲ μόνος ὁ ἐκδότης αὐτοῦ.

Ζ' 431, 18-9 ἐξέδωκε τοὺς Ὁμ. στίχους (Ι, 32-3) «Ἀτρείδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι, ᾗ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς» οὐδὲν ὑποσημειωσάμενος. Καὶ ὅμως ἡ γραφὴ ἣ θέμις ἐστίν, καὶ ὑπὸ τῶν ἀντιγράφων μαρτυρεῖται καὶ αὕτη ἐν ταῖς νεωτέραις ἐκδόσεσι (καὶ ἐν αὐτῇ τῇ στερεοτύπῳ τοῦ Dindorf) φι-ται· πρβλ. Lehrs, Quaest. Epicae 44 κέξ. La Roche Textkrit 2

καὶ Unters. 183. Καὶ ἐκ τοῦ 'Ομηρ. λεξικοῦ Πανταζίδου 279 - 80 καὶ 298 ἠδύνατο νὰ διδαχθῇ ὁ ἐκδότης τἀληθές.

781 c γράφει, «ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ (Κ, 183), ἐν δὲ Ζ', 376, 1 «ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωνται ἐν αὐλῇ». Ἂν ἐμνημόνευεν αὐτοῦ καὶ ἀλλαχοῦ, ἴσως παρεῖχε καὶ τὴν γραφὴν δυσωρήσωσιν, ἣν ἐκ τοῦ λεξικοῦ Ἀπολλωνίου τοῦ Σοφιστοῦ παρέλαβε μὲν πρὸ πολλοῦ ὁ Spitzner, ἀπεδέξαντο δὲ πάντες οἱ μετέπειτα ἐκδόται τοῦ Ὁμήρου. Μόνος ὁ Ἕλλην ἐκδότης φρονεῖ ἄλλα.

Ὁμοίως γράφει 894 b «ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσει» εἰ καὶ πᾶσαι αἱ ἐκδόσεις τοῦ Ὁμήρου (Ρ 547) παρέχουσι νῦν τανύσσῃ, καὶ συντακτικῶς τοῦτο μόνον εἶναι ἐπιτετραμμένον.

Τόμ. Ζ' σ. 385, 15 ἐκδίδωσι τοὺς Ὁμηρικοὺς στίχους (γ 1 - 2) ὧδε: «ἠέλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην, οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνῃ», καὶ ὅμως πᾶσαι αἱ ἐκδόσεις ἔχουσι τὸ συντακτικῶς ὁμαλὸν φαείνοι, ἀλλ' ὁ ἐκδότης οὔτε φροντίζει ν' ἀποκαταστήσῃ τὴν γνησίαν γραφὴν οὔτε σημειοῦταί τι. Ἐν 950 f γράφει ἀρ δ' Ἀρχίλοχος... οὐ κακῶς εἶπε «τῇ μὲν ὕδωρ ἐφόρει δολοφρονέουσα χειρί, τἠτέρῃ δ' ὕδωρ» σημειούμενος ὅτι τἠτέρῃ ἀντὶ τῇ ἑτέρῃ ἔγραψεν ὁ Schneidewin, ἐν δὲ 107 a ἐξέδωκεν «ὥσπερ ἡ παρ' Ἀρχιλόγῳ γυνὴ « τῇ μὲν ὕδωρ ἐφόρει δολοφρονέουσα χειρὶ τἠτέρῃ δὲ πῦρ» σημειούμενος τἠτέρῃ*: τῇ». Καὶ ὅμως εἶναι σήμερον πασίγνωστον ὅτι ἡ διάλεκτος τῶν Κυκλάδων, ἐν ᾗ ἔγραψεν ὁ Ἀρχίλοχος, διέφερε τῆς ἐν Ἰωνίᾳ λαλουμένης κατά τε ἄλλα καὶ κατὰ τοῦτο ὅτι οὐκ ἦν ψιλωτική· πρβλ. Fick ἐν Συμβολαῖς Bezzenberger Τομ. ΙΑ' σ. 245 (1886) «Περὶ τῆς ψιλώσεως τῶν Ἰώνων μόνον ἐπ' ἐσχάτων ἐδιδάχθημεν τἀληθὲς διὰ τῶν ἐπιγραφῶν. Αὗται δεικνύουσιν ἡμῖν ὅτι οἱ Ἴωνες τῶν Κυκλάδων εἶχον τὸ δασὺ πνεῦμα». Πρβλ. καὶ Bechtel, Ἰωνικ. Ἐπιγραφ. σελ. 2-11. 38. 50. Cauer², Delectus, ἀρ. 516 κἑξ. Hoffmann, der Ionische Dialect. 525 κἑξ. καὶ Smyth, Ionic Dialect. § 400. Ἐν σελ. 111 ἐξέδωκεν ὁ Hoffm. θἠτέρῃι.

Καὶ ἐν αὐτοῖς δὲ τοῖς ἀποσπάσμασι τοῦ Ἀρχιλόχου ἀναγινώσκεται τράπεθ' αἱματόεν (9, 8), ἐφίμερος (21, 3, ὁ Schneidewin ἐτέβαλεν εἰς ἐπίμερος). Γλαῦχ' ὅρα (54, 1, ὁ Bergk εἰς Γλαῦκ' ὅρα), ἐφ' ἡμέρην (μόνος Διογένης ὁ Λαέρτιος ἐπ' ἡμέρην), ἔθ'

ὑμῶν (74, 6), φίλταθ' ἑταίρων (79, 2), οὐκέθ' ὁμῶς (100, 1), ὑφ' ἡδονῆς (102, 1), καθαιρεῖ (116), ἐφ' ἥπατι (131, τὸ δασὺ τούτου μαρτυρεῖ καὶ ὁ Ἀθήναιος 107 f «δασυντέον δὲ λέγοντας τὸ ἧπαρ, καὶ γὰρ ἡ συναλοιφή ἐστι παρ' Ἀρχιλόχῳ διὰ δασέος· φησὶ γὰρ «χολὴν γὰρ οὐκ ἔχεις ἐφ' ἥπατι»). Ἡ χρῆσις ἄρα τῶν ἐπιγραφῶν καὶ ἡ παράδοσις τῶν ἀποσπασμάτων τοῦ Ἀρχιλόχου καὶ ἡ μαρτυρία τοῦ Ἀθηναίου οὐδεμίαν καταλείπουσιν ἀμφιβολίαν περὶ τῆς ὑπὸ τοῦ Ἀρχιλόχου χρήσεως τοῦ δασέος καὶ ἐν συναλοιφῇ καὶ συνθέσει. Καὶ αὐτὸς δὲ ὁ ἐκδότης ἐξέδωκε τοῦ Ἀρχιλόχου ῥῆσιν ἐν 658 b ἔχουσαν τὸ ἀφαυανεῖ, ἀλλ' οὐδὲν ὑπ' αὐτῆς ἐδιδάχθη. Τὰς μαρτυρίας ταύτας παρέθηκα οὐχὶ ὅπως διδάξω τι ἄγνωστον, ἀλλ' ἵνα δείξω πόσον γνωστὰ καὶ ἀπὸ πολλοῦ ἐξηκριβωμένα πράγματα εἶναι ταῦτα, ὧν οὐδεμίαν δυστυχῶς φαίνεται ἔχων ἔννοιαν ὁ Ἕλλην ἐκδότης.

Μεγάλην δ' ἄγνοιαν καὶ αὐτῆς τῆς Ἰωνικῆς διαλέκτου τοῦ Ἡροδότου δεικνύει ὁ ἐκδότης γράφων ἐν 863 c ῥῆσιν τοῦ Ἡροδότου ἔχουσαν ὧδε: ἐπεὶ δέ σφεας . . . μεταιτέειν, ἵνα ἐπὶ προφάσεως ἡσυχίαν ἄγωσι», ὑφ' ἃ σημειοῦται ὅτι ὁ Ἡρόδοτος ἔχει προφάσιος· τὸ ἡσυχέαν ἄρα εἶναι γνήσιον αὐτοῦ· ἐν 869 d κατὰ πόλεες (ἀντὶ κατὰ πόλις), 865 c ἀπαλάΤΤεσθαι, 871 f ἐκ Τεγέας, Ζ' 206, 2 αὐτέων (ἀρσ. γένους(!)) βασιλεῦς, 862 e ἀφικόμενοι, ὑφ' ὃ σημειοῦται ὁ ἐκδότης «ἀφικόμενοι R ex Herod. 6, 115: ἀφικομένους»· ἀφίκετο καὶ ἀφικόμενον κεῖται καὶ ἐν 869 d. Ἐν 118 f ἐν τοιοῖσδε πράγμασι ἀμηχανίην ἀντὶ ἐν τοιοῖσίδε πρήγμασι (πρβλ. Smyth Ionic σελ. 382) κτλ.

Παρ' ἐκδότου φιλοτιμουμένου νὰ παρακολουθῇ ταῖς προόδοις τῆς φιλολογίας θὰ προσεδόκα τις, ἵνα καὶ τοὺς ἀσυναλείπτους τύπους μεταιτέειν, ἐνουρέειν (ἐνεμεῖν τε καὶ ἐνουρέειν ἐκ παραλλήλου ἐν Ζ' 204, 24) κττ. μὴ παραλαμβάνῃ εἰς τὰς Ἡροδοτείους ῥήσεις, ἀφοῦ ἀπὸ πολλοῦ εἶναι νῦν ἀποδεδειγμένον, ὅτι οὐχὶ τούτων ἀλλὰ τῶν συνῃρημένων ἐποιεῖτο χρῆσιν ὁ Ἡρόδοτος (πρβλ. πρῶτον Erman, ἐν Κουρτίου Μελέταις Τομ. Ε' σελ. 287 κἑξ., Hoffmann Ἑλλην. Διαλ. Γ' 447 κἑξ., Smyth, Ionic Dialect. σελ. 233 κἑξ. καὶ ἰδίως ἐν σελ. Ι' ἔνθα λέγονται τάδε: Conviced as I am that Herodotos contracted ε+ε, ε+η and ε+ει in εω verbs, I do not hesitate to rank R very high when it perserves the contracted

forms...» Οὕτω δ' ὄντως ἐξέδωκε καὶ ὁ Fritsche παρ' Ἡροδότῳ τοὺς τύπους τούτους. Ἀλλὰ παρὰ τοῦ γράφοντος ᾗ θέμις ἐστι. κἀκεῖθι, τὴτέρη κττ. οὐδεὶς δύναται νὰ περιμένῃ τοιαύτας ἀκριβολογίας.

Παντελῶς ἀλλότριον τῆς Ἰωνικῆς καὶ Ἀττικῆς διαλέκτου εἶναι τὸ 865 b ἐν ῥήσει Ἡροδότου γραφόμενον οὐδαμᾶ ἀντὶ οὐδαμά· τὸ μακρὸν α ἐν τούτῳ εἶναι ὅλως ἀκατανόητον.

Προσδόκιμον λίαν φαίνεται ὅτι ὁ τὰ τῆς Ὁμηρικῆς καὶ Ἡροδοτείου διαλέκτου οὕτως ἐξακριβώσας, δὲν θὰ ἠδύνατο νὰ ἐπίστηται ἀκριβέστερον τὰ τῆς Αἰολικῆς καὶ Δωρικῆς. Δύο παραδείγματα ἔστωσαν ἱκανὰ πρὸς ἀπόδειξιν. Ἐν 110 b γράφει «γενναῖον δὲ καὶ τὸ Λακωνικόν, νῦν ἄμμες... ὧν ἄμμες...», ἐν δὲ 238 a καὶ εἰσάγει δι' εἰκασίας εἰς τὸ στόμα τῶν ἐν Σπάρτῃ χορευόντων Δωριέων τὸ Αἰολικὸν τοῦτο ἄμμες. Περὶ τούτων διέλαβεν ἐκτενῶς πλὴν τοῦ Ahrens ὁ Κόβητος ἐν Var. Lect. σελ. 18 καὶ Μνημ. 1877 σελ. 102 καὶ 1878 σελ. 123-4. Ἐξέδωκε δὲ ἐν 544 e τὸν αὐτὸν στίχον καὶ ἄμετρον «ἄμμες δὲ γ' ἐσόμεθα πολλῷ κάρρονες» (1).

Ἐν 81 d ἐκδίδωσι τὸ Σπαφικὸν ὧδε: «λεπτὸν δ' αὐτίκα χρῷ πῦρ ὑποδέδρομεν». Καὶ ὅμως ἡ παράδοσις τῶν παλαιῶν περὶ τῆς ὑπὰ τῶν Αἰολέων εἶναι ἀναντίλεκτος, διὸ καὶ ὁ Ahrens καὶ ὁ Meister Α' 401 καὶ ὁ Hoffmann Β' 270-1 ὑπὰ οὐχὶ ὑπὸ Αἰολικὸν ἀναγνωρίζουσι καὶ ἐξέδωκαν ὑπαδεδρόμακεν, ὅπως καλά τινα ἀντίγραφα παρέχουσιν, οὕτω δ' ἔχει καὶ ὁ Bergk, Γ' 89 (ἐκδ. 4η τοῦ 1882).

Δ'. Σφάλματα περὶ τὴν Ἀττικὴν χρῆσιν.

Ἡ ἔκδοσις Ἕλληνος συγγραφέως τῶν μεταγενεστέρων χρόνων παλαίει κατ' ἀνάγκην πρὸς πολλῷ μείζονας δυσκολίας ἢ ἡ ἔκδοσις Ἀττικοῦ πεζογράφου τῶν δοκίμων χρόνων. Περὶ τῆς γλώσσης τῶν δοκίμων δυνάμεθα νὰ κρίνωμεν ἀσφαλέστερον πρῶτον ἐκ τῶν συγχρόνων

(1) Καὶ ἐν 17 c «ἐξέδωκε στενωπὸς Ἅιδου καὶ παλίρροια βυθοῦ», εἰ καὶ προδήλως ὁ μέτρον ἀπαιτεῖ μακρὸν τὸ α τοῦ παλιρροία· τοῦτο διόρθωσεν ὁ Κόντος ἐν Ἀθηνᾶς τόμ. Β' 290. Ὁμοίως διαφθείρει τὸ μέτρον καὶ 169 b Γλαῦκ', ὅρα βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται» ἀντὶ κύμασιν. Καὶ 614 c «οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ» ἀντὶ «οἷον ΚΑΙ τόδ' ἔρεξε...» (δ 271), καὶ ἄλλα πολλά.

ἐπιγραφῶν καὶ ἐκ τῶν μέτρων τῶν ποιητῶν, ἐξ ὧν πλεῖστα μανθάνομεν περὶ τῆς χρήσεως τῶν χρόνων ἐκείνων καθόλου καὶ δὴ καὶ περὶ τοῦ συγγραφέως περὶ οὗ ὁ λόγος ἡμῖν ἑκάστοτε. Οὐδεὶς λ. χ. θέλει πεισθῇ ἔχων ὑπ' ὄψιν τὰς ἐπιγραφὰς τῆς ε' π. Χ. ἑκατονταετηρίδος ὅτι ὁ Εὐριπίδης ἔγραψεν ἐπληροῦσαν ἢ ἤμην, ὅπως τὰ ἀντίγραφα αὐτοῦ μαρτυροῦσιν. Οὐδεὶς ἀληθὴς φιλόλογος θέλει πεισθῇ ὅτι ὁ Εὐριπίδης ἐν Ἴωνι 1580 ἔγραψεν Ἀργαδεῖς, ὅπως ἠθέλησε νά με διδάξῃ ἀνωνύμως ὁ κ. Β., ἀλλ' Ἀργαδῆς (1). Δεύτερον ἐκ τῶν ἀρχαίων Γραμματικῶν καὶ λεξικογράφων, οἳ πολλὰ παρατηρήσαντες διδάσκουσιν ἡμᾶς περὶ τῆς χρήσεως ἐκείνων, ὅτι λ. χ. τὸ α' πρόσωπον τοῦ παρατατικοῦ τοῦ εἰμὶ ἦν ἦ, μονογράμματον, ὁ ὑπερσυντέλικος ἔληγεν ἐν τῷ α' ἑν. προσ. εἰς -η, ἐγρηγόρη, ἀπωλώλη, ἐν τῷ γ' πληθ. εἰς -εσαν κττ.

Μανθάνοντες δ' οὕτω τοὺς χαρακτῆρας τῆς ἀρχαιοτέρας καὶ νεωτέρας Ἀτθίδος καὶ ἐπιστάμενοι ὅτι οἱ πεζογράφοι κατὰ τοὺς χρόνους ἐκείνους ἔγραφον τὴν γλῶσσαν συνῳδὰ πρὸς τοὺς χρόνους καθ' οὓς ἔζησαν, δυνάμεθα κατὰ τὴν κρίσιν ἑκάστου τούτων καὶ ἔκδοσιν ἢ διόρθωσιν νὰ ὦμεν βέβαιοι ὅτι τούτου καὶ οὐχὶ ἐκείνου τοῦ τύπου, ταύτης καὶ οὐχὶ ἐκείνης τῆς λέξεως ἐποιήσατο χρῆσιν.

Ἀλλὰ ταῦτα ἐλλείπουσιν ἐν τοῖς μεταγενεστέροις χρόνοις· οὔτε διὰ τῶν ἐπιγραφῶν δυνάμεθα εὐκόλως νὰ σχηματίσωμεν πλήρη καὶ βεβαίαν εἰκόνα τοῦ τότε γραφομένου λόγου (2), οὔτε οἱ Γραμματικοὶ ἐπιμελή-

(1) Ἰδοὺ τί γράφει ἐπὶ λέξει: «Ὅπερ δ' ἀκριβολογούμενος ὁ κ. Χατζιδάκης ἀποφαίνεται ὅτι ἡ κατάληξις -ιδεὺς εἶνε χρήσεως περιωρισμένης, ἀείποτε λεγομένη κυριολεκτικῶς ἐπὶ τῶν νεογνῶν» καὶ τοῦτο εἶνε οὐδόλως ἀκριβές. Ἰδοὺ μερικὰ παραδείγματα: Ἐργαδεῖς ἢ μᾶλλον Ἀργαδεῖς εἶνε μία τῶν τεσσάρων ἀρχαίων Ἀττικῶν φυλῶν. Τοῦτο δὲ μαρτυρεῖται καὶ ἐξ ἐπιγραφῶν καὶ ὑπὸ συγγραφέων· ἴδε π. χ. Εὐριπίδου Ἴων. 1580... Στοιχαδεὺς Ναυτεύς...». Πότερον νὰ θαυμάσῃ τις μᾶλλον τὴν λογικὴν τοῦ ἀνθρώπου φέροντος ὡς παραδείγματα τῶν εἰς -ιδεὺς ὀνόματα λήγοντα οὐχὶ εἰς -Ιδεὺς ἀλλ' εἰς -εύς, Ναυτεύς, ἢ ἔστω καὶ εἰς -αδεύς, ἢ τὴν γραμματικὴν αὐτοῦ ἐμπειρίαν διατεινομένου ὅτι παρ' Εὐριπίδῃ κεῖται μετὰ τοῦ ΕΙ Ἀργαδεῖς; Καὶ ὅμως τὸ χωρίον τοῦτο τοῦ Εὐριπίδου εἶναι διάσημον, ἐπειδὴ ἐσώθη ἐν ἐσφαλμένῃ γραφῇ αὐτοῦ ὁ ἀρχαῖος εἰς -ῆς τύπος. Ἰδοὺ τί γράφει περὶ τούτου ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1878 σελ. 135 «In Euripidis Ione vs. 1579 libri exhiben

Γελέων μὲν ἔσται πρῶτος, εἶτα δεύτερον
ὃ πάντες ἀργα Λῆς τε.

pellucent ΟΠΛΗΤΕC ex ὃ πάντες et ΑργαΔῆς ex Αργα Λῆς.

(2) Ὁ ἐκδότης φαίνεται ἐλπίζων ὅτι ἐκ τῶν ἐπιγραφῶν τῶν χρόνων τοῦ Πλο-

